κβ'. Μαλαχίας ὁ προφήτης ἦν ἐκ φυλῆς Ζαβουλών. 10 Οὗτος μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ τὴν ἀπὸ Βαβυλῶνος τίκτεται ἐν Σοφᾷ ἐν γῇ Ζαβουλών. Καὶ ἔτι νέος ὢν καλὸν βίον ἔσχε, πολλὰ δὲ προεφήτευσε περὶ τῆς τοῦ κυρίου ἐπιδημίας καὶ περὶ κρίσεως νεκρῶν· καὶ ὅτι τὰ ἔθη Μωϋσέως πληρωθήσονται καὶ ἀλλαγήσονται. Καὶ ἐπειδὴ πᾶς ὁ λαὸς 15 ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πραΰν, ἐκάλεσεν αὐτὸν μαλαχί, ὃ ἑρμηνεύεται ἄγγελος. Ἦν γὰρ καὶ τῷ εἴδει πάνυ εὐπρεπής, ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ἄγγελος ὀφθεὶς ἐπεδευτέρωσεν αὐτοῦ τὴν προφητείαν, ὥσπερ ἐγένετο ἐν ταῖς ἡμέραις τῆς ἀναρχίας, ὡς γέγραπται ἐν 20 Σφαρφωθείμ, τουτέστιν ἐν βίβλῳ Κριτῶν. Νέος δὲ ὢν ὁ προφήτης ἀπέθανε καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν τῷ ἀγρῷ αὐτοῦ.

κγ'. Ζαχαρίας ἄλλος προφήτης καὶ ἱερεύς. Οὗτος ἦν

5 Zachar. 9, 8; 14, 12 **7** ibid. 1, 16; 4, 9; 6, 12—15; 13, 2. 4. 9 **14** Malach. c. 3 et 4 **16** cf. Malach. 3, 1 **21** Iudic. 2, 1 s **24** 2 Chron. 24, 20

1 νῖος AB νίκην p Κρείσσον AB 6 ἀργήας AB 7 ἱερ. ∟ καὶ ptz 10 ὁ βίος τοῦ Μαλαχίου τοῦ προφήτου καὶ ποῦ κεῖται ptz 12 ζαβούλον t 13 πολλὰ — 15 ἀλλαγ. ∟ s 14 πρηρωθ. B 16 πρᾶον pz πραὸν t αὐτὸν μαλαχί] Μαλαχίαν p καὶ ∟ p 19 ὥσπερ + καὶ pz 21 σχοφθεὶμ pz 24 Ὁ βίος τοῦ Ζαχαρίου προφήτου καὶ ποῦ κεῖται ptz ἄλλος — ἦν] était de Jérusalem s

υἱὸς Ἰωδαὲ ἱερέως, πατὴρ δὲ Ἰωάννου τοῦ βαπτιστοῦ. Τοῦτον ἀπέκτεινεν Ἡρώδης ὁ βασιλεὺς ἐχόμενα τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου κυρίου. Οὗτος δὲ ἦν ἐξ Ἱερουσαλὴμ ἐξ οἴκου Δαυίδ, ἀνὰ μέσον τοῦ Ἐλὰμ ἐξ οἴκου κυρίου. Οὗτος ἐπρο-
5 *φήτευσε περὶ Χριστοῦ γενεᾶς. Ἐκεῖ οὖν αὐτὸν ἔθαψαν ἐν οἴκῳ θεοῦ ἐχόμενα ναοῦ κυρίου. Ἔκτοτε ἐγίνοντο τέρατα πολλὰ ἐν τῷ ναῷ καὶ φαντασίαι καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν οὐκέτι ὀπτασίαν ἀγγέλων· οὐδὲ δοῦναι χρησμοὺς τῷ λαῷ ἐν Δαβεὶρ οὔτε ἐρωτῆσαι ἐν τῷ Ἐφοὺδ οὔτε διὰ τῶν*
10 *δήλων ἀποκριθῆναι, ἕως τὸ πρίν, ἕως τῆς ἡμέρας ἐκείνης.*

κδ΄. Συμεὼν ὁ ἱερεύς· οὗτος ἦν ἐκ φυλῆς Ἀαρών. Οὗτος ἐχρηματίσθη ὑπὸ πνεύματος ἁγίου τοῦ μὴ ἰδεῖν θάνατον ἕως ἂν ἴδῃ τὸν Χριστὸν ἐν σαρκί. Οὗτος ἐβάστασε τὸν κύριον εἰς τὰς ἰδίας ἀγκάλας. Καὶ ἐδόξασε τὸν θεὸν
15 *εἰπών· εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου. Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. Ἀπέθανε δὲ καὶ ἐτάφη πλησίον τῶν ἱερέων πρεσβύτης πλήρης ἡμερῶν.*

⟨κε΄.⟩ Ἰωάννης ὁ βαπτιστὴς υἱὸς Ζαχαρίου καὶ Ἐλι-

1 De commutatione istius Zachariae cum Ioannis patre vide Chrysostom. hom. 75 in Mt. (Migne 58, 631); Hieronymus in Mt. l. IV (Migne, Patr. lat. 26, 180 B) **2—3** Mt. 23, 35; 2 Chron. 24, 21; Tertull. scorp. c. 10. De Herode auctore caedis vide Protoevang. Iacobi 23, 3 **11** Lc. 2, 26—30 **15** ibid. 2, 30 **19** ibid. 1, 5

1 *Ἰωδαὲ* + *τοῦ* pz Ioiada s *πατὴρ — Ἡρ.*] Joas, roi de Juda s 3 *Οὗτος* — 5 *γενεᾶς* ⌊ s *δὲ* ⌊ pz *δὲ*] *καὶ* t 4 *ἀνὰ — κυρίου*] *μέρος ἐλάθρενον ἐν οἴκῳ κυρίου* z *κυρίου* + *ἐξεχέετο τὸ αἷμα αὐτοῦ εἰς τὰ πρόθυρα τοῦ ναοῦ κυρίου* t 5 Les prêtres l'enlevèrent s *γενεᾶς*] *γεννήσεως* z *γέννας* A 6 *θεοῦ*] *κυρίου* ptz *ἐκτότε* ptz *ἐγίγνοντο* ptz 9 *ἐν Δαβ.* ⌊ s *ἐν*] *ἐκ τοῦ Δ.* ptz 10 *ἐκείνης*] *ταύτης* ptz *ἕως — ἐκείνης* ⌊ s 11 *ὁ βίος τοῦ Συμεὼν προφήτου καὶ ποῦ κεῖται* ptz *Συμ.* + *δὲ* t 12 *ἐχριματίσθη* A 13 *Χριστὸν*] *κύριον* p 14 *ἐν ταῖς ἰδίαις ἀγκύλαις* (*ἀγκάλαις* z) pz 19 *Ὁ βίος Ἰωάννου τοῦ προφήτου καὶ ποῦ κεῖται* ptz

σάβετ. Οὗτος ἦν ἐκ φυλῆς Λευΐ. Οὗτος ἐδήλωσεν ἡμῖν τὸν ἀμνὸν τοῦ θεοῦ τὸν υἱὸν τοῦ πατρὸς τὸν ἄραντα τοῦ κόσμου τὴν ἁμαρτίαν. Οὗτος εἴσοδος ἡμῖν ἐγένετο τῆς τοῦ θεοῦ βασιλείας. Οὐδεὶς γὰρ ἐν γεννητοῖς γυναικῶν μείζων ἐστὶν Ἰωάννου τοῦ βαπτιστοῦ. Ἀπέθανε δὲ τμηθεὶς 5 τὴν κεφαλὴν παρὰ Ἡρῴδου, διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ.

Καὶ ἄλλοι δὲ προφῆται ἐγένοντο, ὧν τὰ ὀνόματα ἐγγέγραπται ἐν ταῖς αὐτῶν γενεαῖς, ἐν βίβλῳ ὀνομάτων Ἰσραήλ, ὧν οὐκ ἐμνημονεύσαμεν. 10

B.

DE PROPHETARUM VITA ET OBITU LIBER DOROTHEO CUIDAM ADSCRIPTUS.

A = Vindob. theol. gr. 77 (ol. 40) saec. XIII fol 261.
B = Textus Chronici Paschalis sec. edition. L. Dindorf 1832. 15
C = excerpta prophetica apud Cosmam Indicopleust. topogr. christ. l. V (Migne Patr. gr. 88, 260 ss).
L = Latina versio Wolfg. Musculi anni 1557.
Codices et editiones Chronici Paschalis in editione nominata.
m = Monac. gr. 557 saec. XVI. 20
p = editio Parisina Ducangii 1688.
r = editio Raderi 1615.
s = editio Fabricii 1714.
v = Vatic. gr. 1941 saec. X.

2 Ioa. 1, 29 4 Lc. 7, 28; Mt. 11, 9 6 Marc. 6, 16—20; Mt. 14, 2—5

2 αἴραντα pt τὴν ἁμαρτίαν] Nestle corr. τὰς ἁμαρτίας 5 ἐστιν ∠ p τμηθείσης τῆς κεφαλῆς pt 8 δὲ ∠ p 10 ἐμνημ. + τέλος τῆς βίβλου τῶν προφητῶν τοῦ ἁγίου Ἐπιφανίου ἐπισκόπου τῆς Κύπρου t

ΠΕΡΙ ΤΩΝ ΠΡΟΦΗΤΩΝ. ⟨ΔΩΡΟΘΕΟΥ.⟩

Εἰς τὸν Ὠσηέ. Σωζόμενος.

Οὗτος Ὠσηὲ τῶν ιβ' προφητῶν ὁ πρῶτος, ἀξιωθεὶς εἰπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ οὕτως· ὅταν θλίβωσιν,
5 *ὀρθρίσουσιν πρός με λέγοντες· δεῦτε ἐπισρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς ἥρπακε καὶ ἰάσεται ἡμᾶς πλήξας, μοτώσει ἡμᾶς, ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα ἐνώπιον αὐτοῦ, καὶ γνωσόμεθα. Ἐκ ταύτης τῆς χρήσεως ὁ ἀπόστολος λέγει Παῦ-*
10 *λος τοῖς Κορινθίοις· παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς· οὐκ ἔστιν ἀλλαχόθεν εὑρεῖν. Ἔτι λέγει ὁ προφήτης ἁρμόζων ἐπὶ τοῦ δεσπότου Χριστοῦ·*
15 *σάρξ μου ἐξ αὐτῶν. Πάλιν λέγει· ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραὶμ καὶ ἐν ἀσεβείᾳ οἶκος Ἰσραὴλ καὶ Ἰούδα. Νῦν ἔγνω αὐτοὺς ὁ θεός, καὶ λαὸς ἅγιος κεκλήσεται τοῦ θεοῦ ἀπὸ τῆς φυλῆς διὰ τὸν ἐξ αὐτῆς ἀναδεικνύμενον κατὰ σάρκα δεσπότην Χριστόν, λαὸν ἅγιον θεοῦ ὀνομάσας τὸν Ἰούδαν.*
20 *Ἔτι πάλιν ὁ αὐτὸς προφήτης· ἐκ χειρὸς Ἅιδου ῥύσομαι*

5 Osee 6, 1—3 **9** 1 Cor. 15, 3. 4 **15** Osee 9, 12 **16** ibid. 11, 12 **20** ibid. 13, 14

1 *Δέον ἐν συντόμῳ μνημονεῦσαι καὶ τῶν προφητῶν καὶ δεῖξαι καὶ αὐτοὺς περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου προειρηκότας, καὶ ὅτι πάντες ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ μέχρις Ἰωάννου τοῦ βαπτιστοῦ εἰς τὴν μέλλουσαν κατάστασιν ἀφορῶσιν* B 2 Osee L *Ὀσηέ* p *οὗτος* + *ὁ* C 4 *θλιβῶσιν* AB 5 *ὀρθρίσωσι* C 6 *ἥρπακε*] *πέπαικε* C *ἡμᾶς* + *ὁ* C 7 *πλήξας — ἡμᾶς* ⦣ p *βωτώσει* v *μωττώσει* A *ἁγιάσει* A 8 *ἐνώπιον αὐτοῦ* ⦣ C 9 ex isto oraculo L *Παῦλος λέγει* A 13 *γραφὰς* + *τοῦτο γὰρ τὸ τῇ τρίτῃ ἡμέρᾳ ἀλλαχοῦ ἐν παλαιᾷ γραφῇ οὐκ ἔστιν εὑρεῖν* AL 12 *καὶ ὅτι*] *Τὸ γὰρ* C 14 *ἁρμόζον* A 15 *ἐκύκλωσαν* B 17 *κεκλήσεται*] *κληθήσεται* C *τοῦ* ⦣ AC 18 *ἀναδεινύμενον* B declaratur venisse L 19 *θεοῦ* ⦣ A

αὐτούς· ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, Ἅιδη; ταύτῃ τῇ χρήσει ἐχρήσατο ὁ ἀπόστολος Παῦλος ἐπὶ τῆς ἀναστάσεως.

Οὗτος Ὡσηὲ ἦν ἐκ Βελεμὼθ τῆς φυλῆς Ἰσσάχαρ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ. 5

Εἰς τὸν Ἀμώς. Στερέωσις.

Οὗτος ὁ δεύτερος Ἀμὼς καὶ αὐτὸς ἀξιωθεὶς εἰπεῖν περὶ τῆς ἐλεύσεως τοῦ δεσπότου Χριστοῦ οὕτως· διότι ἰδοὺ ἐγὼ στερέων βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ. Ἔτι λέγει. Ἐν τῇ ἡμέρᾳ 10 ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς καὶ ἀνοικοδομήσω αὐτήν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ὁ 15 ποιῶν ταῦτα. Ταύτης τῆς χρήσεως μέμνηται Ἰάκωβος ὁ ἀπόστολος ἐν ταῖς πράξεσι τῶν ἀποστόλων.

Ἀμὼς ἦν ἐκ Θεκουέ, καὶ Ἀμασίας συχνῶς αὐτὸν ἐτυμπάνισε. Τέλος ἀνεῖλεν αὐτὸν ὁ υἱὸς αὐτοῦ ῥοπάλῳ πλήξας τὸν κρόταφον, καὶ ἔτι ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ, 20 καὶ μεθ' ἡμέρας δύο ἀπέθανεν, καὶ ἐκεῖ ἐτάφη.

2 1 Cor. 15, 55 **4** Osee 1, 1 **7** Amos 4, 13 **11** ibid. 9, 11. 12 **16** Act. 15, 16 **18** Amos 1, 1; 7, 10

1 *δίκη*] *νίκη* C *ποῦ* + *σου* C *σου* ∠ C 2 *ἐπὶ*] *περὶ* C 6 *στερέωσις* ∠ CL 7 Hic Amos alter propheta est L *δεύτερος*] *τρίτος* C *διότι* ∠ C 12 *αὐτῆς* + *καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω* C 13 *λοιποὶ* C 14 *τὸν κύριον* ∠ C 15 *μου*] *αυγτοῦ αὐτοῦ* scriptum et *μου* suprascriptum A 16 *ὁ* ∠ A 17 *ὁ ἀπόστολος* ∠ L 18 *Οὗτος Ἀμ.* AL *ἐτυμπάνιζε* A 19 *Καὶ τέλος* A 20 *τὸν κρόταφον*] *αὐτὸν* A 21 *καὶ ἐτάφη ἐκεῖ* A

Εἰς τὸν Μιχαίαν. Στρατηγός.

Οὗτος Μιχαίας ὁ τρίτος ὃς ἠξιώθη καὶ αὐτὸς προειπεῖν περὶ τῆς ἐλεύσεως τοῦ δεσπότου Χριστοῦ καί φησιν· καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ, ὀλίγιστος εἶ τοῦ εἶναι ἐν χι- 5 *λιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Ταύτην τὴν χρῆσιν λαβόντες οἱ ἀρχιερεῖς καὶ γραμματεῖς τῶν Ἰουδαίων Ἡρώδου αὐτοὺς ἀπαιτοῦντος, ποῦ ὁ Χριστὸς γεννᾶται, ἔφησαν, ἐν Βηθλεέμ. Ὅθεν καὶ τοὺς* 10 *μάγους ἐπὶ τὴν Βηθλεὲμ τότε ἀπέστειλεν. Ἔτι λέγει αὐτὸς ὁ προφήτης· αὐτὸς ἐπιστέψει καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς ἁμαρτίας ἡμῶν καὶ ἀποῤῥίψει εἰς τὰ βάθη τῆς θαλάσσης πάσας τὰς ἀδικίας ἡμῶν, δώσει, εἰς ἀλήθειαν τῷ Ἰακώβ, ἔλεος τῷ Ἀβραάμ, καθότι ὤμοσε τοῖς πατράσιν ἡμῶν* 15 *κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν.*

Μιχαίας ἦν ἀπὸ Μορασθὴ ἐκ φυλῆς Ἐφραΐμ. Πολλὰ ποιήσας τῷ Ἀχαὰβ ὑπὸ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀνηρέθη ἐν κρημνῷ, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβαίαις τῶν πατέρων αὐτοῦ· καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ μόνος, σύνεγγυς πολυ- 20 *ανδρίου Ἐνακείμ.*

3 Mich. 5, 1 **9** Mt. 2, 5 **10** Mich. 7, 19. 20 **16** Mich. 1, 1 **17** 3 Reg. 22, 8 ss

1 *στρατηγός* ∟ L 2 *τρίτος*] *ἕβδομος* C *ὃς* ∟ C 4 *Ἐφραθᾶ* A 6 *ἐν τῷ*] *τοῦ* C *αἱ* ∟ C *αὐτοῦ*] *αὐτῶν* A 8 *ἀπαιτοῦντος* + *τοῦ βασιλέως* A 9 *Βηθλεέμ* + *τῆς Ἰουδαίας* C *τοὺς* ∟ C 11 *ἐπιστρέψῃ* AB *ἡμᾶς* + *καὶ* C 12 *ἁμαρτίας*] *ἀδικίας* C *ἀποῤῥίψει*] *ἀποῤῥιφήσονται* C 13 *πᾶσαι αἱ ἁμαρτίαι* C 14 *ἔλεον* C *τῷ*] *τοῦ* p *ὤμοσας* C 16 *ἀπὸ Μορ.*] *Μωρασθίτης* p *Μαραθὶ* A Marathai L *καὶ πολλὰ* A *Ἀχὰβ* p *Ἰωαρὰμ* A 17 *ἀνηρέθη*] *ὃς ηὑρέθη* v *ὡς ηὑρέθη* r *ἐν κρημνῷ*] *κρημνωθεὶς* A praecipitio necatus est L *μόνος* ∟ A 19 *πολυανδρείου* r polyandrium Enakim L *ἐνακείμ* A *ἐν Ἀκ.* B

Εἰς τὸν Ἰωήλ. Αὐθαίρετος ἰσχύς.

Οὗτος Ἰωὴλ ὁ προφήτης καὶ αὐτὸς ἀξιωθεὶς προειπεῖν περὶ τοῦ κατὰ τὸν δεσπότην Χριστὸν μυστηρίου· φησὶ γὰρ οὕτως· καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ 5 *αἱ θυγατέρες ὑμῶν καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνυπνίοις ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ* 10 *καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, ἡ σελήνη εἰς αἷμα πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται· πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.*

Ταύτης τῆς χρήσεως μέμνηται ὁ μακαρίτης Πέτρος ἐν 15 *ταῖς πράξεσι τῶν ἀποστόλων πληρουμένης, ὅτε ἡ κάθοδος τοῦ ἁγίου πνεύματος ἐπὶ τοὺς ἀποστόλους ἐν τῇ ἡμέρᾳ τῆς Πεντεκοστῆς ἐγένετο.*

Ἰωὴλ ἐκ γῆς ἦν τοῦ Ῥουβὴν ἀγροῦ τοῦ Βεθομορῶν, καὶ ἀπέθανεν ἐν εἰρήνῃ καὶ ἐκεῖ ἐτάφη. 20

Εἰς τὸν Ἀβδιοῦ. Δουλεύων κυρίῳ.

Οὗτος Ἀβδιοῦ πέμπτος φησὶ καὶ αὐτὸς ἀξιωθεὶς εἰπεῖν περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου οὕτως· διότι ἐγγὺς ἡμέρα

4 Ioel 2, 28—32 **16** Act. 2, 17 **23** Abdias 1, 15. 17

1 *Αὐθ. ἰσχ.* ∟ L 2 *Ἰωὴλ* ∟ L *προφήτης*] *δεύτερος* C *καὶ αὐτὸς* ∟ C 5 *οἱ* ∟ pv 7 *ἐνύπνια* C *καὶ*] ὃ *καίγε* Av *μου* ∟ C 10 *τῷ* ∟ C *ἄνω* ∟ C *γῆς* + *κάτω* p 11 *σκότος* + *καὶ* C 15 *μέμν.*] *μακάριος μνημονεύει* A *πληρ.*] *ὡς πληρωθείσης τότε* A quod tunc adimplebatur L *συμπληρουμένης* C 16 *ὅτε*] *ἡνίκα* A *Πεντεκοστῆς*] *ν′* C 19 *Οὗτος Ἰωὴλ* AL *ἐκ γῆς*] *ἐγγὺς* (!) A *Ῥουβὶμ* A *βεθομορὼν* A 21 *δουλ. κυρίῳ* ∟ LC 22 *οὗτος* + δ C *Ἄβδιαν* r *Ἀβδιοῦ* BL *πέμπτος*] *τέταρτος* C *φησὶ* ∟ A *προειπεῖν* C 23 *οὕτως* + *φησὶ* A *κατὰ Χριστὸν*] *Χριστοῦ* p *ἐγγὺς* + *ἡ* C

κυρίου ἐπὶ πάντα τὰ ἔθνη. Εἴρηται μὲν κατὰ τὸ πρόχειρον ἐπὶ τῶν Σκυθῶν, τουτέστι τοῦ Γὼγ καὶ Μαγώγ· κυριώτερον δὲ ἁρμόζει ἐπὶ τοῦ δεσπότου Χριστοῦ· ἐπιφέρει γὰρ μετ' ὀλίγα· ἐν δὲ τῷ ὄρει Σιὼν ἔσται ἡ σωτηρία.

5 Ἀβδιοῦ ἦν ἐκ γῆς Συχὲμ ἀγροῦ Βιθαχαράμ. Οὗτος ἦν μαθητὴς Ἠλία, καὶ πολλὰ ὑπομείνας δι' αὐτὸν περισώζεται. Οὗτος ἦν ὁ τρίτος πεντηκόνταρχος, οὗ ἐφείσατο Ἠλίας, καὶ κατέβη πρὸς Ὀχοζίαν, καὶ μετὰ ταῦτα ἀπολιπὼν λειτουργίαν τοῦ βασιλέως προεφήτευσεν καὶ ἀπέθανε ταφεὶς μετὰ τῶν 10 πατέρων αὐτοῦ.

Εἰς τὸν Ἰωνᾶν. Δέησις κυρίου, ὁ αὐτὸς βαπτιστής.

Οὗτος Ἰωνᾶς ἕκτος, ὃς οὐ διὰ λόγων, ἀλλ' ἔργῳ καὶ τύπῳ προεμήνυσε τὴν ἀνάστασιν τοῦ Χριστοῦ. Φησὶ γὰρ ὁ κύριος· ὥσπερ Ἰωνᾶς ἔμεινεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς 15 ἡμέρας καὶ τρεῖς νύκτας· ὥσπερ γὰρ τὸ κῆτος ἀδιάφθορον ἐξήμεσε τὸν Ἰωνᾶν, οὕτω καὶ ὁ τάφος τὸν δεσπότην ἐξήμεσε εἰς κρείττονα ζωήν.

Ἰωνᾶς ἦν ἐκ γῆς Καριαθμαοῦς πλησίον Ἀζώτου, πόλεως Ἑλλήνων κατὰ θάλασσαν, καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους, 20 καὶ ἀπελθὼν εἰς Νινευῆ, ἀνακάμψας οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ, ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησε τὴν Σούρ, χώραν ἀλλοφύλων ἐθνῶν. Ἔλεγε γὰρ ὅτι· οὕτως

7 4 Reg. 1, 13 ss **13** Mt. 12, 40 **19** Ion. 2, 1; 4, 2

2 ἐπὶ] περὶ C καὶ + τοῦ C κυριότερον A certius autem et magis proprie L 4 δὲ ∟ p 5 Οὗτος Ἀβδ. AL 6 Ἠλιοῦ A περισώζεται] ἐσώζετο A 8 ἀπολιπὼν + τὴν A 11 Δέησις — βαπτ. ∟ CL 12 Ἰωνᾶς ∟ L ἕκτος] πέμπτος C 15 νύκτας + οὕτως ἔσται καὶ (∟ C) ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ACL 15 ἀδιάφορον B 16 οὕτω] οὗτος C 18 Οὗτος Ἰων. A 20 ἐν Ν. B Νινιυΐ A ἐν τῇ γῇ A 22 Ἀσσοὺρ A

ἀφελῶ τὸ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας κατὰ Νινευῆ πόλεως τῆς μεγάλης, ἣν τότε Ἠλίας ἐλέγχων καὶ τὸν οἶκον Ἀχαὰβ, καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγε. Καὶ ἐλθὼν ηὗρε τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτῆς καὶ ἔμεινε παρ' αὐτοῖς· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων· καὶ 5 ηὐλόγησεν αὐτήν. Θανόντα τὸν Ἰωνᾶν πάλιν ἤγειρεν ἐκ νεκρῶν ὁ θεὸς διὰ τοῦ Ἠλία· ἠθέλησε γὰρ δεῖξαι αὐτῷ, ὅτι οὐ δύναται ἀποδρᾶσαι θεόν. Καὶ ἀναστὰς Ἰωνᾶς μετὰ τὴν λιμὸν ἦλθεν ἐν γῇ Ἰούδᾳ, καὶ ἀποθανοῦσαν τὴν μητέρα αὐτοῦ κατὰ τὴν ὁδὸν ἔθαψεν αὐτὴν ἐχόμενα τῆς Λιβάνου 10 βαλάνου. Ἐν γῇ Σαὰρ ἀπέθανεν, καὶ ἐτάφη ἐν σπηλαίῳ Κενεζέου κριτοῦ γενομένου μιᾶς φυλῆς ἐν ἡμέραις τῆς ἀναρχίας. Καὶ ἔδωκε τέρας ἐπὶ Ἱερουσαλὴμ καὶ ὅλην τὴν γῆν· ὅτε ἴδωσι λίθον βοῶντα οἰκτρῶς, ἐγγίζει τὸ τέλος, καὶ ὅτε ἴδωσι ἐν Ἱερουσαλὴμ πάντα τὰ ἔθνη, τότε ἡ πόλις ἀφα- 15 νισθήσεται.

Εἰς τὸν Ναούμ. Παράκλησις.

Οὗτος Ναοὺμ ἕβδομος ἠξιώθη καὶ αὐτὸς προειπεῖν περὶ τῆς ἀναστάσεως τοῦ δεσπότου Χριστοῦ, καί φησιν· ἑόρταζε Ἰούδα τὰς ἑορτάς σου, ἀπόδος κυρίῳ τὰς εὐχάς σου, διότι 20 οὐ μὴ προσθῶσιν ἔτι τοῦ διελθεῖν εἰς παλαίωσιν. Συντε-

1 Ion. 4, 1 s **3** 3 Reg. 17, 1 s **4** ibid. 17, 9 **6** ibid. 17, 17 Ps. Athanas. quaest. ad Antioch. 65 (Migne 28, 633 C) **14** Habac. 2, 11 **20** Nah. 1, 15 (2, 1)

2 *Νινευΐ τῆς πόλεως* A *ἣν*] sicut et L 3 *οἶκον*] demum (!) [domum] L 6 *θανόντα δὲ* A 8 *τὴν*] *τὸν* p 10 *τῆς Λιβ.*] *τοῦ Βαλάνου* A *ἀποθνήσκει δὲ καὶ αὐτὸς ἐν Σαάρ* AL *Λιβ.* ∟ v 12 *Γενεζέου* p + *τοῦ* p 14 *ὅτε ἴδωσι*] *ὅτι δώσει* A 15 *ἐγγίζειν* A *καὶ ὅτε δώσει* A 17 Nahum L *παράκλ.* ∟ L 18 *οὗτος* + *ὁ* p *Ναούμ* ∟ L *ἕβδομος*] *ὄγδοος* L *ἀξιωθεὶς* A *καὶ* ∟ A 19 *καὶ* ∟ A 20 *κυρίῳ* ∟ C 21 *προσδήσωσιν* C *διελθεῖν* + *διὰ σοῦ* C *συνεπλήσθη* p

τέλεσται, ἐξῆρται· ἀνέβη ὁ ἐμφυσῶν εἰς πρόσωπόν σου, ὁ
ἐξαιρούμενός σε ἐκ θλίψεως.

Ναοὺμ ἦν ἀπὸ Ἐλκεσεΐ πέραν τοῦ εἰς Βηταβαρὴν ἐκ
φυλῆς Συμεών. Οὗτος μετὰ τὸν Ἰωνᾶν τῇ Νινευῇ τέρας
5 ἔδωκεν, ὅτι ἀπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογείου ἀπο-
λεῖται· ὃ καὶ γέγονεν. Ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη κατ-
έκλυσεν αὐτὴν ἐν σεισμῷ καὶ ἀπώλεσε· καὶ πῦρ ἐκ τῆς
ἐρήμου ἐπελθὸν τὸ ὑψηλότερον αὐτῆς ἐνέπρησε μέρος· ἀπέ-
θανε δὲ ἐν εἰρήνῃ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

10 **Εἰς τὸν Ἀμβακούμ. Περίληψις.**

Οὗτος Ἀμβακοὺμ ὄγδοος καὶ αὐτὸς ἀξιωθεὶς εἰπεῖν περὶ
τῆς ἀναστάσεως τοῦ Χριστοῦ οὕτως· ἴδετε οἱ καταφρονηταὶ
καὶ ἐπιβλέψατε καὶ θαυμάσατε καὶ ἀφανίσθητε, διότι ἐγὼ
ἔργον ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε
15 ἐάν τις ἐκδιηγῆται. Ταύτην τὴν χρῆσιν ἁρμοδίως ὁ Παῦλος
ἐπὶ τῆς ἀναστάσεως τοῦ δεσπότου Χριστοῦ ἔλαβεν ἐν Ἀν-
τιοχείᾳ τῆς Πισιδίας.

Ἀμβακοὺμ ἦν ἐκ φυλῆς Συμεὼν ἐξ ἀγροῦ Βηθιτουχάρ.
Οὗτος εἶδε πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερου-
20 σαλήμ, καὶ ἐπένθησεν. Ναβουχοδονόσορ ὅτε ἦλθεν εἰς
Ἱερουσαλήμ, ἔφυγεν εἰς Ὀστρακίνην καὶ ἦν πάροικος ἐν γῇ
Ἰσμαήλ. Ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι καὶ οἱ κατάλοιποι

5. 6 cf. Nah. 2, 8 s; ibid. 1, 8; 3, 15 **12** Habac. 1, 5
16 Act. 13, 41 **19** Habac. 1, 6 ss; c. 2

1 ὁ ∠ AC 3 Οὗτος N. AL Ἑλκεσὲ p Elltesi L ἐκ ∠ A
4 Νινευΐ A 5 γλυκίων r γλυκείων pv 8 μέρος ἐνέπρ. A 10 Aba-
cuc L περίληψις ∠ L 11 Οὗτος + ὁ C Οὗτος ὄγδοος Ἀμβ. A
Ἀμβακοὺμ ∠ L ὄγδοος] ἔνατος C 13 θαυμάσατε + θαυμάσια C
16 ἔλαβεν] ἐξελάμβετο A ἐξέλαβεν C ἐν + τῇ p 18 Οὗτος
Ἀμβ. AL Βιτιτουχάρ AL Βῆθι τοῦ χὰρ pv 20 ἐπένθ. + σφόδρα
καὶ ὅτε ἦλθε Ναβ. A

οἱ ὄντες εἰς Ἱερουσαλὴμ καὶ κατέβησαν εἰς Αἴγυπτον, ἣν παροικῶν γῆν αὐτοῦ. Καὶ ἐλειτούργει θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ. Ὡς δὲ ἔλαβε τὸ ἔδεσμα, προεφήτευσε τοῖς ἰδίοις εἰπών· πορεύομαι εἰς γῆν μακρὰν καὶ ταχέως ἐλεύσομαι, εἰ δὲ βραδύνω, ἐνέγκατε τοῖς θερισταῖς. Καὶ γενόμενος ἐν Βαβυλῶνι, καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι καὶ οὐδὲν εἶπε τῶν γενομένων. Συνῆκε δὲ ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἀπὸ Βαβυλῶνος. Καὶ πρὸ δύο ἐτῶν ἀποθνήσκει τῆς ἐπιστροφῆς καὶ ἐτάφη ἐν ἀγρῷ ἰδίῳ μόνος ἐν τῇ Ἰουδαίᾳ. Καὶ περὶ συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνος δυτικὸν γενήσεται. Τότε τὸ ἅπλωμά φησι τοῦ Δαβεὶρ καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσονται, καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται. Αὐτὰ δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλου, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλους κύριος, καὶ φωτίσει τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως ἐν σκότει, ὡς ἐξ ἀρχῆς.

Εἰς τὸν Σοφονίαν. Σκοπεύων.

Οὗτος Σοφονίας ἔνατος καὶ αὐτὸς ἀξιωθεὶς προφητεῦσαι περὶ τοῦ δεσπότου Χριστοῦ, φησὶν γὰρ οὕτως· ἐπιφανήσεται κύριος ἐπ' αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ

6 Dan. 14, 32 ss **16** Habac. 3, 4 ss **20** Sophon. 2, 11

1 *εἰς Ἱ.* ∠ AL *εἰς*] *ἐν* p 2 *καὶ* ∠ p Et cum aliquando messoribus agri sui ministraret et pulmentum sumeret L 11 *βραδυνῶ* B 5 *θερισταῖς* + *τὴν τροφὴν αὐτῶν* A *γενόμενος* + *δὲ* A 6 *ἀπέστη* r 7 *συνῆκεν δὲ*] sciebant autem L *τάχειον* v 9 *ἐπιστροφῆς* + *αὐτῶν* A 10 *ναοῦ*] *λαοῦ* r 11 *ἔθνους δυτικοῦ* pr *τὸ* ∠ A 12 *στηλῶν* B *στύλων* v 18 Sophonias L *Σκοπεύων* ∠ CL *σοφωνίαν* B 19 *Οὗτος* + *ὁ* C *Σοφωνίας* B *Σοφονίας*] est dignus et L *ἔννατος* pv *ἔνατος*] *ἐνδέκατος* C 20 *γὰρ* ∠ B

τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. Πάλιν λέγει· ὅτι μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰς αὐτῆς τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσι
5 *θυσίας μοι. Καὶ πάλιν λέγει· Χαῖρε σφόδρα, θύγατερ Ἱερουσαλήμ, εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ἱερουσαλήμ, περιεῖλε κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου βασιλεύσει κύριος ἐν μέσῳ σου· οὐκ ὄψει κακὰ οὐκέτι, ἅπερ πάντα κυριώτερα ἐπὶ τοῦ*
10 *δεσπότου Χριστοῦ ἁρμόζει.*

Σοφονίας ἦν ἐκ φυλῆς Συμεὼν ἐξ ἀγροῦ Σαβαρθαθά. Οὗτος προεφήτευσε περὶ τῆς πόλεως καὶ περὶ τέλους Ἰσραὴλ καὶ αἰσχύνης ἀσεβῶν· καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

Εἰς τὸν Ἀγγαῖον. Ἑορτή.

15 *Οὗτος Ἀγγαῖος δέκατος ἠξιώθη καὶ αὐτὸς προειπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ, ὡς εἰς πρόσωπον Ζοροβάβελ τὰ ἁρμόζοντα τῷ δεσπότῃ Χριστῷ λέγων. Καὶ θήσομαί σε σφραγῖδα, διότι σε ᾑρετισάμην, λέγει κύριος παντοκράτωρ, καθάπερ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει. Τοῦτον γὰρ ὁ πατὴρ*
20 *ἐσφράγισεν ὁ θεός.*

Ἀγγαῖος νέος ἦλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ

4 Sophon. 3, 9. 14 **12** Zachar. 14, 10. 12. 18 cf. Sophon. 2, 11; 3, 9. 10. 14. 15. 19 **18** Agg. 2, 23—24 **19** Ioa. 6, 27 **21** Agg. 1, 8; 2, 10

2 *ὅτι* — 4 *ἕνα* ∟ C 5 *θυσίαν* C *θύγατερ* C *Ἱερ.*] *Σιὼν* C 6 *εὐφραίνου* — *Ἱερουσαλὴμ* ∟ C *σου* + *θεοῦ* p 8 *βασιλεὺς Ἰραὴλ ὁ κύριος ἐν μέσῳ* B 9 *κυριότερον* A *κυριώτερον* C 11 *Οὗτος* AL *Σοφωνίας* B 12 *Ἰσραὴλ*] *Ἱερουσαλὴμ* A 14 Aggaeus L *ἑορτὴ* ∟ L 15 *Ἀγγαῖος* ∟ L *δέκατος* ∟ C *ἀξιωθεὶς* A 18 *σε* ∟ C *ᾑρέτισα* C *παντοκράτωρ* — *θεός* ∟ C 21 *Ἀγγ.* + *οὗτος* AL *ὡς αὐτοί*] cum honore quo sacerdotes sepeliri solebant L

φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσε. Καὶ εἶδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ· καὶ θανὼν ἐτάφη πλησίον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως, ὡς αὐτοί.

Εἰς τὸν Ζαχαρίαν. Μνήμη θεοῦ.

Οὗτος Ζαχαρίας ἑνδέκατος καὶ αὐτὸς ἀξιωθεὶς προειπεῖν 5 περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ λέγων οὕτως· Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται δίκαιος καὶ σώζων, αὐτὸς πραΰς καὶ ἐκβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Ὑπερβολικῶς μὲν εἰς τὸν Ζοροβάβελ εἴρηκε ταύτην τὴν χρῆσιν· τὴν ἔκ- 10 βασιν δὲ κυρίως ἔσχεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ. Ἔτι λέγει· καὶ ἐρῶ πρὸς αὐτόν· τί αἱ πληγαὶ αὗται αἱ ἀνὰ μέσον τῶν χειρῶν σου; καὶ ἐρεῖ· ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου. Καὶ μετ' ὀλίγα πάνυ· πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. Ταύτης τῆς 15 χρήσεως μέμνηται ὁ κύριος ἐν τῷ καιρῷ τοῦ πάθους, ὅτι ἤμελλε παραδίδοσθαι, εἰς ἑαυτὸν αὐτὴν εἰρηκώς.

Ζαχαρίας ἦλθεν ἀπὸ Χαλδαίων ἤδη προβεβηκώς, κἀκεῖ τῷ λαῷ πολλὰ προεφήτευσε, καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν. Οὗτος εἶπε τῷ Ἰωσεδέκ, καὶ εἰς Ἱερουσαλὴμ ἱερατεύσεις. 20 Οὗτος καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ ηὐλόγησε καὶ τὸ ὄνομα

7 Zachar. 9, 9 **14** ibid. 13, 6 **16** Marc. 14, 27 **18** Zachar. 1, 1

4 Zacharias L μνήμη θεοῦ ∠ L 5 Ζαχαρίας ∠ L δέκατος ∠ C 6 λέγων οὕτως] φησὶ γάρ A χαίροις C 8 ἔρχεταί + σοι C πρᾷος p 9 ἐπιβεβηκὼς C 11 Χριστοῦ + ὡς εἰς πρόσωπον Ζοροβάβελ C 12 λέγων p αἱ ∠ C 13 ἃς ∠ B 14 πάνυ] πάλιν C 16 μέμνηται + καὶ AC 17 εἰρηκὼς] ἐκλαβόμενος A εἰς — εἰρηκὼς] usurpans illud et transferens in se L παραδεδόσθαι C αὐτὴν] ταύτην C 18 Ζαχ. + οὗτος AL 19—20 ἀπόδειξιν καὶ εἰς Ἱερουσαλὴμ ἱεράτευσεν AL οὗτος — Ἰωσεδὲκ ∠ AL 20 ἱερατεύσεις p ἱεράτευσεν rv 21 υἱῶν A

Ζοροβάβελ ἐπέθηκε. Καὶ ἐπὶ Κύρου τέρας ἔδωκεν εἰς νῖκος.
Καὶ περὶ τῆς λειτουργίας αὐτοῦ προηγόρευσεν ἣν ποιήσει
ἐπὶ Ἱερουσαλήμ, καὶ ηὐλόγησεν αὐτὸν σφόδρα. Τὰ δὲ τῆς
προφητείας εἶδεν ἐν Ἱερουσαλήμ· περὶ τέλους ἐθνῶν καὶ
5 τοῦ ναοῦ καὶ ἀργίας προφητῶν καὶ ἱερέων καὶ περὶ διπλῆς
κρίσεως ἐξέθετο. Καὶ ἀπέθανεν ἐν γήρει μακρῷ, καὶ ἐτάφη
σύνεγγυς τοῦ Ἀγγαίου [ἐγγὺς Ἐλευθερουπόλεως ἀπὸ στα-
δίων τεσσαράκοντα ἐν ἀγρῷ τοῦ Νοεμὰν ἐν χρόνοις Ἐφίδου
ἐπισκόπου. Ἐμφανισθεὶς ὅτι αὐτός ἐστιν Ζαχαρίας υἱὸς
10 Βαραχίου, οὗ μέμνηται Ἡσαΐας, ὄνομα δὲ τῷ ἀγρῷ ἔνθα
κεῖται Βεθζαρία, μήκοθεν Ἱερουσαλὴμ ἀπὸ σταδίων ρν'.]

Εἰς τὸν Μαλαχίαν. Ἄγγελος.

Οὗτος Μαλαχίας δωδέκατος καὶ αὐτὸς προφητεύειν ἀξιω-
θεὶς τῶν κατὰ τὴν οἰκονομίαν τοῦ δεσπότου τοῦ Χριστοῦ.
15 Λέγει δὲ καὶ αὐτὸς οὕτως· διότι ἀπὸ ἀνατολῶν ἕως δυσμῶν
τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσιν. Καὶ ἐν παντὶ
τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά·
διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει κύριος παν-
τοκράτωρ. Καὶ πάλιν λέγει· ἰδοὺ ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν
20 μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου σου. Ταύτην δὲ
τὴν χρῆσιν ὁ κύριος εἰς ἑαυτὸν ἐξέλαβε καὶ εἰς τὸν βαπτι-
στὴν Ἰωάννην. Ἔτι λέγει ὁ αὐτὸς προφήτης· καὶ ἀνατελεῖ
ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης καὶ

4 Zachar. 9, 8; 14, 12 **5** ibid. 1, 16, 4, 9; 6, 12—15; 13, 2—22 **15** Malach. 1, 11 **19** ibid. 3, 1. 5 **22** ibid. 4, 2—5

1 τέρας] Πέρσας A 6—11 solum in AL 12 Malachias L ἄγγελος ⌊ L 13 Μαλαχίας ⌊ L δωδέκατος ⌊ C προφητεῦσαι A 14 ἀξιωθεὶς + περὶ C τῶν ⌊ A περὶ τῆς οἰκονομίας A τοῦ ⌊ AC 18 παντοκράτορ A 19 ἐγὼ ⌊ C 20 ὁδὸν ⌊ A δὲ ⌊ p 21 ἐξελάμβετο A 22 λέγει + καὶ r 23 δικαιωσύνης A

ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ, καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα, καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗν ἐγὼ ποιῶ, λέγει κύριος παντοκράτωρ. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν Ἡλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν 5 *τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, καθὼς εἶπεν ὁ κύριος τοῖς Ἰουδαίοις, ὅτι· καὶ ἐὰν θέλητε δέξασθαι περὶ Ἰωάννου, αὐτός ἐστιν Ἡλίας ὁ μέλλων ἔρχεσθαι.*

Μαλαχίας οὗτος μετὰ τὴν ἐπιστροφὴν τίκτεται ἐν Σοφᾷ καὶ ἔτι πάνυ νέος ὢν καλὸν βίον ἔσχηκεν. Καὶ ἐπειδὴ πᾶς 10 *ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πρᾶον, ἐκάλεσαν αὐτὸν Μαλαχίαν, ὃ ἑρμηνεύεται ἄγγελος. Ἦν γὰρ καὶ τῷ εἴδει εὐπρεπής, ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ὀφθεὶς ἄγγελος κυρίου ἐπεδευτέρωσεν, ὡς ἐγένετο ἐν ἡμέραις ἀναρχίας, ὡς γέγραπται ἐν Σφερτελλείμ, τουτέστιν* 15 *ἐν βίβλῳ Κριτῶν. Καὶ ἔτι νέος ὢν προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν ἀγρῷ αὐτοῦ.*

[Οὗτοι μέν εἰσιν οἱ ιβ' προφῆται, οἱ εἰς ἓν βίβλον ἀριθμούμενοι, ἐξ ἧς βαδιούμεθα ἐπὶ τοὺς μεγάλους τέσσαρας, ὧν ἑκάστου ἴδιόν ἐστι βιβλίον, ναὶ μὴν καὶ ἐπὶ τοὺς λοιποὺς 20 *περιβοήτους προφήτας ὧν οὐ φέρονται συγγράμματα, ταῦτα προθεωρήσαντες πρότερον.]*

Λοιπὸν ἐπὶ τοὺς τέσσαρας μεγάλους βαδιοῦμεν πληρώσαντες σὺν θεῷ τοὺς ιβ'. Πάντες μὲν οἱ προφῆται προ-

8 Mt. 11, 14 **10** cf. Malach. 3, 1 **15** Iudic. 2, 1 s

3 *ἀνέμους* C 4 *ᾗ* C 7 *καὶ* ∟ A *θέλετε* B *δέξασθε* C 8 *Ἰωάννου* + *τοῦ βαπτιστοῦ* C 9 *τίκτεται*] *κεῖται* rv *Σουφᾷ* A Supha L *σοφιᾶ* p *ἔτι* — 10 *ἐπειδὴ*] *ἔτι νέος ὢν πάνυ θαυμαστὴν εἶχεν ἀνατροφὴν καὶ βίον καλὸν καὶ ἐπεὶ* A alimoniam vel nutricem habuit admirabilem et vitam honestam L 15 *σφερετελλεὶμ* p *σφερ.* — *τουτέστιν* ∟ L 16 *καὶ*] *ἀπέθανε δὲ* AL *ὢν* + *καὶ* A 18—22 solum in AL 23 *Εἰς τοὺς τέσσαρας μεγάλους προφήτας* p 23 *λοιπὸν* — 24 *ιβ'* ∟ AL 23 *μεγάλους* ∟ r *τέσσαρας* + *τοὺς* C

εφήτευον καὶ ὑπεμίμνησκον τοὺς Ἰουδαίους περὶ τῶν ἐπαγ-
γελιῶν τοῦ θεοῦ, ὧν πρὸς τοὺς πατέρας ἐποιήσατο, ὅπως
πάντα τὰ ἔθνη εὐλογεῖν ὑπέσχετο ἐν τῷ σπέρματι τοῦ
Ἀβραὰμ διὰ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας,
5 καὶ ὅπως ἐλυτρώσατο αὐτοὺς ὁ θεὸς πρώην ἐκ τῆς δου-
λείας τῶν Αἰγυπτίων μετὰ βραχίονος ὑψηλοῦ· καὶ δέδωκεν
αὐτοῖς τὴν γῆν ἐπαγγελίας, καὶ ὅπως αἰχμάλωτοι εἰς Βαβυ-
λῶνα ὑπὸ Ναβουχοδονόσορ ἀπαχθήσονται, καὶ πάλιν ἐνδόξως
ἐπανήξουσι, καὶ πάλιν πείσονται κακὰ ὑπὸ Ἀντιόχου καὶ
10 τῶν πέριξ ἐθνῶν, καὶ ὅπως καὶ τούτων δυνάμει θείᾳ περι-
γένωνται· καὶ τότε ὁ προσδοκώμενος ἐκ τοῦ σπέρματος Ἀβρα-
ὰμ ἥξει ἐπὶ σωτηρίᾳ παντὸς τοῦ κόσμου κατὰ τὰς ἄνωθεν
ἐπαγγελίας. Τοῦτο τὸ ἔργον τῶν προφητῶν. Τινὲς μὲν
οὖν ἐξ αὐτῶν ἑαυτοῖς συνέγραψαν τὰς ἰδίας βίβλους, οἷον
15 ὁ Δαβὶδ συνθεὶς τὴν βίβλον τῶν ψαλμῶν καὶ Δανιὴλ ἐν
τῇ αἰχμαλωσίᾳ κελευσθεὶς γράψαι ἅπερ αὐτῷ δι' ὁράσεων
ἀπεκαλύφθη· ἢ καὶ ἄλλοι τινές. Οἱ δὲ λοιποὶ οὐχ ἑαυτοῖς
συνέγραφον, ἀλλὰ γραμματεῖς ἦσαν ἐν τῷ ἱερῷ, οἳ ἔγραφον
ἑκάστου προφήτου ὡς ἐπὶ ἡμερολογίου λόγον. Καὶ ἡνίκα
20 ἀπεστέλλετο ὑπὸ τοῦ θεοῦ προφήτης κηρῦξαι ἢ περὶ Ἱερου-
σαλὴμ ὅτι μέλλει αἰχμαλωτίζεσθαι ἢ περὶ Σαμαρείας ἢ περὶ
ἑτέρων τόπων ἢ περὶ τῆς ἐπανόδου ἢ περὶ Ἀντιόχου ἢ περὶ
τῶν πέριξ ἐθνῶν ἢ περὶ αὐτοῦ τοῦ δεσπότου Χριστοῦ, καθ'
ἣν ἡμέραν προεφήτευεν, ἔγραφον ἐν τῷ λόγῳ τοῦ προφήτου
25 ἐκείνου ὃ ἐκήρυσσε περὶ ἑνὸς πράγματος. Καὶ πάλιν μετὰ
καιρόν, εἰ ἐκήρυξε περὶ ἑτέρου πράγματος, πάλιν ἔγραφον

3 εὐλογῆσαι C 4 Χριστὸν + μελλούσης A 6 ἔδωκεν C
8 ἀχθήσονται A ἐνδόξης] μετὰ δόξης C 10 ὅπως] ὅτι A καὶ
∠ C περιγενήσονται AC 13 τοῦτο — τινὲς] καὶ τὸ μὲν ἔργον
τῶν προφητῶν πάντων κοινῶς τοῦτο ὑπῆρχεν, ἀλλά τινες AL
14 οὖν ∠ Ap 19 ἐπὶ — λόγον] cum dierum supputatione L
20 τοῦ ∠ C κηρύξαι τι C 24 ἔγραφεν A 25 ὃ] οὗ A ἐκήρυττεν
+ τουτέστιν C 26 εἰ] ἢ pv

ὑποτάσσοντες εἰς τὸν αὐτοῦ λόγον ὡς ἀρχὴν κεφαλαίου ποιού-
μενοι ὃ ἐκήρυττον, καὶ οὕτω πᾶσαν τὴν βίβλον αὐτοῦ συνετί-
θεσαν. Ὅθεν ἐστὶν εὑρεῖν ἐν ταῖς αὐτῶν βίβλοις κεφάλαιον
ἁρμόζον εἰς τὴν αἰχμαλωσίαν Βαβυλῶνος ἢ εἰς τὴν ἐπάνοδον,
καὶ εὐθέως περὶ Χριστοῦ ἕτερον καὶ αὖθις περὶ τῆς αἰχμα- 5
λωσίας καὶ τῆς ἐπανόδου λέγοντα [ἢ ἕτερον ὑποθέσεως καὶ
αὖθις ἄλλο περὶ ἄλλου καὶ πάλιν ἕτερον περὶ τῆς προτέρας
ὑποθέσεως]. Καὶ ἁπλῶς εἰπεῖν, ἐὰν μὴ παρατετηρημένως
ἀναγνῷς, συγκεχυμένα τὰ πάντα εὑρήσεις. Οὐ μόνον δὲ
ταῦτα τὰ προφητικά, ἀλλὰ καὶ αἱ βασιλεῖαι τούτῳ τῷ τρόπῳ 10
ἐγράφησαν ἐν τῷ ἱερῷ κατὰ μέρος ἐν τῷ καιρῷ τοῦ Σαοὺλ
τὰ ἕως τοῦ Σαοὺλ καὶ ἐν τῷ καιρῷ τοῦ Δαβὶδ τὸ ἕως
Δαβίδ. Ὁμοίως καὶ τὰ ἑκάστου βασιλέως τὰ κατὰ τὸν
ἴδιον καιρὸν ἐγράφοντο. Ὁμοίως ἔγραφον καὶ ἐν τοῖς
σκρινίοις τῶν βασιλέων, ἃς καλοῦμεν παραλειπομένας. Τὴν 15
δὲ Πεντάτευχον ὁ Μωϋσῆς ἔγραψεν ἱστορίαν προγεγονότων
καὶ γινομένων καὶ ἐσομένων. Ἰησοῦς πάλιν τὴν ἰδίαν βίβλον·
τοὺς κριτὰς πάλιν ἐν τῷ ἱερῷ ἤγουν ἐν τῇ σκηνῇ, ὁμοίως
καὶ τὴν Ῥούθ. Σολομὼν πάλιν τὰ ἴδια ἔγραψε, τάς τε
παροιμίας καὶ τὰ ᾄσματα καὶ τὸν Ἐκκλησιαστήν, σοφίας 20
χάριν εἰληφὼς παρὰ θεοῦ, καὶ πάντα ἄνθρωπον νουθετῶν
σοφῶς ἀναστρέφεσθαι ἐν τῷδε τῷ βίῳ· προφητείας γὰρ χάριν
οὐκ εἰλήφει. Ὅσους οὖν ηὕρομεν προφήτας ἀξιωθέντας

1 εἰς + αὐτὸν C ποιούμενοι + ὁ C 2 ἐκήρυξε C 3 κεφ. + πρῶτον A ἁρμόζον + τυχὸν A 5 εὐθέως + ἕτερον A αὖθις + πάλιν C λέγον C ἢ ἕτερον — λέγοντα ∠ AC 6 ἢ — 8 ὑποθέσεως solum in AL 9 ἀναγνῷ τις AC τὰ ∠ A πάντα] πλεῖστα C εὑρήσει AvC δὲ ∠ ταῦτα τὰ προφητικά AL 10 τοῦτον τὸν τρόπον A τῷ ∠ p 11 ἐν + μὲν τῷ καιρῷ A ἐν — καιρῷ τοῦ] τῷ C 12 καὶ ∠ A ἐν + δὲ A τὸ] τὰ A ἕως + τοῦ A ἐν καιρῷ τοῦ Σαοὺλ — Δαβίδ] quae sub Saule usque ad ipsum David contigerant L 14 ὁμοίως ἔγραφον] ὡσαύτως ἐγράφησαν A 15 αἱ καλούμεναι παραλιπόμεναι A 16 ὁ ∠ C 17 Iesus Nave L 18 τὴν σκηνὴν p ἔγραφε A 20 σοφίας + γὰρ AC 22 τῷδε ∠ A γὰρ ∠ A 23 ὅσους + μὲν A

εἰπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ ἐτάξαμεν. Ἔτι δὲ γράφωμεν καὶ περὶ τῶν ἄλλων τεσσάρων προφητῶν, ὅσα ἠξιώθησαν εἰπεῖν περὶ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας, ἐν ᾗ ἀφορᾷ πᾶς ὁ σκοπὸς τῆς θείας γραφῆς. Προφέρωμεν
5 τοίνυν πρῶτον τὸν μεγαλοφωνότατον Ἡσαΐαν ὃς καὶ τύπῳ καὶ λόγῳ ἠξιώθη ἰδεῖν καὶ προειπεῖν περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου.

Εἰς τὸν Ἡσαΐαν.

Οὗτος ὁ μέγας Ἡσαΐας ὁ υἱὸς τοῦ Ἀμώς, ὃς τύπῳ μὲν
10 εἶδε τὰ κατὰ τὸ μυστήριον τοῦ Χριστοῦ, ὅτε εἶδε τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ σεραφεὶμ εἱστήκεσαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνὶ ἑαυτὰ κατακαλύπτοντα, καὶ ἔκραζον ἕτερος πρὸς τὸν ἕτερον· ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ
15 τῆς δόξης αὐτοῦ. Ἐπὶ τούτοις ἀπεστάλη ἓν τῶν σεραφεὶμ καὶ ἔλαβε τῇ λαβίδι ἄνθρακα ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τῶν χειλέων αὐτοῦ λέγων· τοῦτο ἀφελεῖ τὰς ἁμαρτίας σου, σαφῶς διὰ τῆς ὄψεως τῆς δειχθείσης καὶ τοῦ ὕμνου καὶ τοῦ τύπου διδαχθεὶς προμηνῦσαι τὸ κατὰ Χριστὸν μυ-
20 στήριον. Ἔτι δὲ πάλιν καὶ λόγῳ φησὶν οὕτως· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος

11 Isa. 6, 1 ss **21** ibid. 53, 7

1 περὶ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας C τὸν δεσπότην Χριστὸν p δεσπότου ∟ L ἐτάξαμεν] ἤδη προσέλθομεν A γράφομεν AC 2 ὅσα + δηλονότι καὶ αὐτοὶ A 3 περὶ — οἰκονομ. ∟ C 4 σκοπὸς] κόσμος A προφέρωμεν] προφερέσθω A 5 ὁ μεγαλοφωνότατος Ἡσαΐας A ὃς + δὲ p 8 Esaias L 9 Οὗτος Ἡσ. ὁ μέγ. A ὃς• ∟ A τύπῳ — Χριστοῦ] καὶ τύπῳ μὲν προεώρακε τὸ κατὰ Χριστὸν μυστήριον A 10 προεῖδε C 11 σεραφὶμ AC 13 τὸν ∟ C ἕτερον + καὶ ἔλεγον 15 ἓν] εἷς ἐκ p 16 ἄνθρακα ∟ C 18 δειχθείσης] δειχείας p 19 προμηνύσαι A 20 λόγῳ + περὶ τοῦ Χριστοῦ ἀξιωθεὶς προφητεῦσαι ὁ αὐτὸς A

αὐτὸν ἄφωνος. Ταύτην τὴν χρῆσιν ὁ Αἰθίωψ εὐνοῦχος ἀναγνοὺς τὸν Φίλιππον παρεκάλει ἑρμηνευθῆναι αὐτῷ αὐτήν, ὃς τάχιστα περὶ τοῦ δεσπότου Χριστοῦ αὐτὴν ἡρμήνευσεν εἰρῆσθαι ὑπὸ τοῦ προφήτου. Ἔτι πάλιν λέγει· Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν. Καὶ πάλιν· ὅτι 5 *ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς καὶ δεῖξαι αὐτῷ φῶς. Καὶ πάλιν· οὕτω λέγει κύριος· ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρογωνιαῖον ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς. Καὶ ὁ πιστεύων* 10 *ἐπ᾽ αὐτῷ οὐ μὴ καταισχυνθῇ. Καὶ πάλιν· ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι. Καὶ πάλιν· πνεῦμα κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. Τοῦτο ἀναγνοὺς ὁ κύριος ἐν τῇ συναγωγῇ τοῖς σάββασιν εἶπεν· Ἀμὴν λέγω ὑμῖν, σήμερον* 15 *ἐπληρώθη ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.*

Ἡσαΐας ἦν ἀπὸ Ἱερουσαλήμ· θνήσκει δὲ ὑπὸ Μανασσῆ πρισθεὶς εἰς δύο, καὶ ἐτέθη ὑποκάτω δρυὸς Ῥωγὴλ ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς χώσας αὐτά. Καὶ ὁ θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ 20

1 Act. 8, 32—35 **4. 5** Isa. 53, 3. 9 **8** ibid. 28, 16 **11** ibid. 11, 10 **13** ibid. 61, 1 **15** Lc. 4, 18—21 **17** cf. 4 Reg. 21; 2 Chron. 33 **18** ascensio Isaiae, aethiop., c. 5; alia testimonia patrum vide Schürer, Gesch. des israël. Volkes III[3], 283 2 Chron. 32, 3. 30; Sir. 48, 17

1 *αὐτὸν* ∠ C 2 *ἑρμην.* — 3 *τάχιστα*] *ἑρμηνεῦσαι ταύτην αὐτῷ κἀκεῖνος τάχιστα καὶ ἀληθέστατα* A 5 *πληγῇ*] *τιμῇ* Av *μαλακίας* C 6 *εὑρέθη* ∠ C *δόλον* C 7 *ἀπὸ* ∠ C *πληγῆς* +. *Ἐὰν δοθῇ περὶ ἁμαρτίας ἡ ψυχὴ ὑμῶν, ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ* C *καὶ* ∠ C 9 *ἐμβάλλω* A 11 *ἐπ᾽ αὐτῷ* ∠ C *καὶ πάλιν* — 13 *ἐλπιοῦσι* ∠ L 12 *ἄρχειν* + *τῶν* C 14 *οὗ* — *με* ∠ C 15 *σάβασιν* v 17 *Ἡσ. οὗτος* AL *δὲ* + *ἐν αὐτῇ* A *Μανασσοῦ* p *τοῦ βασιλέως* A 18 *δρυὸς* + *παρὰ τῇ πηγῇ* AL *Ῥογιλεῖς* A *χώσας αὐτὰ*] *ἃ ἔχωσεν* A

ἐποίησε διὰ τὸν προφήτην, ὅτι πρὸ τοῦ ἀποθανεῖν ὀλιγοψυχήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ· διὰ τοῦτο ἐκλήθη Σιλωάμ, ὅπερ ἑρμηνεύεται ἀπεσταλμένος· καὶ ἐπὶ τοῦ Ἐζεκία πρὸ τοῦ ποιῆσαι τοὺς λάκκους
5 καὶ τὰς κολυμβήθρας ἐπὶ εὐχῇ τοῦ Ἡσαΐου μικρὸν ὕδωρ ἐξῆλθεν, ὅτι ἦν ὁ λαὸς ἐν συγκλεισμῷ ἀλλοφύλων, καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις. ὡς μὴ ἔχουσα ὕδωρ. Ἠρώτων γὰρ οἱ πολέμιοι, πόθεν πίνουσιν· καὶ χαρακώσαντες τὴν πόλιν παρεκαθέζοντο τῷ Σιλωάμ. Ὅταν οὖν ηὔχοντο σὺν τῷ
10 Ἡσαΐᾳ οἱ Ἰουδαῖοι, ἐξήρχετο τὸ ὕδωρ· διὸ ἕως τῆς σήμερον αἰφνιδίως ἐξέρχεται, ἵνα δειχθῇ τὸ μέγα τοῦτο μυστήριον. Καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονε, μνήμης χάριν καὶ ὁ λαὸς τῶν Ἰουδαίων πλησίον αὐτὸν τὸν Σιλωὰμ ἔθαψαν ἐπιμελῶς καὶ ἐνδόξως, ἵνα διὰ τῶν ὁσίων αὐτοῦ προσευχῶν
15 καὶ μετὰ θάνατον αὐτοῦ ὡσαύτως ἔχωσι τὴν ἀπόλαυσιν τοῦ ὕδατος, ὅτι καὶ χρησμὸς ἐδόθη αὐτῷ περὶ αὐτοῦ τοῦ ποιῆσαι οὕτως. Ἔστι δὲ ὁ τάφος ἐχόμενος τοῦ τάφου τῶν βασιλέων, ὄπισθεν τοῦ τάφου τῶν Ἰουδαίων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομῶν γὰρ ἐποίησε τοὺς τάφους τοῦ Δαβὶδ δια-
20 γράψας κατὰ ἀνατολὰς τῆς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαὼν μήκοθεν τῆς πόλεως σταδίους εἴκοσιν. Ἐποίησε δὲ ταύτην σκολιάν, σύνθετον, ἀνυπονόητον· καὶ ἔστιν ἡ εἴσοδος ἕως τῆς σήμερον τοῖς πολλοῖς ἀγνοουμένη τῶν ἱερέων καὶ ὅλῳ τῷ λαῷ. Ἐκεῖ εἶχεν ὁ βασιλεὺς Σολομῶν τὸ χρυ-
25 σίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα. Καὶ ἐπειδὴ ἔδειξεν

3 Ioa. 9, 7 **5** cf. Isa. 22, 9—11.

1 διὰ] δι' αὐτὸν Ap ὀλιγωρήσας B 4 Ἰεζεκία A Ἐζεκίου p 5 κολυμβήτρας p 6 συγκλεισμῷ] συκαῖς Μωὰβ ALvr 9 ἤρχοντο B orabant L εἴρχοντο pr 10 Ἰουδαῖοι + ἀντλεῖν p 11 ἐξέρχονται A 13 ἔθαψαν + αὐτὸν A 14 αὐτοῦ] τούτου A διὰ — αὐτοῦ ∟ p 17 ἐχομένως p 19 Salomon L 20 ἀπὸ] ὑπὸ A 22 ταύτην + τὴν A

Ἐζεκίας τὸ μυστήριον Δαβὶδ καὶ Σολομῶντος τοῖς ἔθνεσι καὶ
ἐμίανεν ὀστᾶ τῶν προπατόρων αὐτοῦ, διὰ τοῦτο ὁ θεὸς
ἐπηράσατο εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς ἐχ-
θροῖς αὐτοῦ, καὶ ἄκαρπον αὐτὸν καὶ ἄγονον ἐποίησεν ὁ
θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης. 5

Εἰς τὸν Ἱερεμίαν.

Οὗτος Ἱερεμίας ἀξιωθεὶς καὶ αὐτὸς προειπεῖν περὶ τοῦ
κατὰ Χριστὸν μυστηρίου λέγων οὕτως· καὶ ἔλαβον τὰ τριά-
κοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο
ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κε- 10
ραμέως, καθὰ συνέταξέ μοι κύριος. Ταύτης δὲ τῆς χρήσεως
καὶ ὁ εὐαγγελιστὴς μέμνηται Ματθαῖος πληρωθείσης ἐν
καιρῷ τοῦ πάθους. Πάλιν λέγει ὁ αὐτὸς προφήτης. Ἰδοὺ
ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσ-
ραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν 15
διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν ᾗ ἡμέρᾳ
ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτὰς ἐκ γῆς
Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου,
κ' ἀγὼ ἠμέλησα αὐτῶν, φησὶ κύριος, διδοὺς νόμους μου ἐπὶ
διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράφω αὐτούς, 20
καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

1 4 Reg. 20, 13f.; 2 Chron. 32, 27 **3** 4 Reg. 20, 18
8 Zach. 11, 12 **12** Mt. 27, 9 **13** Ierem. 31, 31—34

1 Σολομῶν B 2 ἐμίανε + τὰ A ὀστᾶ τόπου πατέρων Apv
3 ἐπειράσατο v ἐπειρώσατο r 4 αὐτὸν ∟ A ἄγονον + αὐτὸν A
6 Ieremias L Ἱερεμ. + ὁ δέκατος C 8 λέγει γὰρ οὕτως A
τριάκοντα] λ' A 11 δὲ ∟ p 12 Ματθαῖος + ὡς A ἐν +
τῷ A πάθους + τοῦ Χριστοῦ A 16 ᾗ ∟ A 17 αὐτὰς]
αὐτοὺς C 19 αὐτῶν] αὐτοὺς A κύριος + ὅτι αὕτη ἡ διαθήκη
μου, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας,
φησὶ κύριος C διδοὺς + δώσω C ἐπὶ] εἰς τὴν C 20 καρδίας C
γράψω C 21 θεὸν + αὐτοῖς v

Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ λέγων. Γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν
5 *οὐ μὴ μνησθῶ ἔτι. Καὶ ταύτης τῆς χρήσεως μέμνηται ὁ ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ.*

Ἱερεμίας ἦν ἐξ Ἀναθώθ, καὶ ἐν Τάφναις Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει. Κεῖται δὲ ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργε-
10 *τηθέντες δι' αὐτοῦ. Ηὔχετο γὰρ αὐτοῖς. ‖ Τῶν γὰρ ὑδάτων οἱ θῆρες ⟨ἠνόχλουν αὐτὸν⟩, οὓς καλοῦσιν οἱ Αἰγύπτιοι μὲν Ἐφώθ, Ἕλληνες δὲ κροκοδείλους. Καὶ ὅσοι εἰσὶ πιστοὶ θεοῦ ἕως σήμερον εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀνθρώπων θεραπεύουσι,*
15 *καὶ πολλοὶ αὐτὰ τὰ θηρία τὰ ἐν τῷ ὕδατι φυγαδεύουσιν. Ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου γερόντων ἀνδρῶν, ὅτι Ἀλέξανδρος ὁ τῶν Μακεδόνων ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου καὶ ἐπιγνοὺς τὰ εἰς αὐτὸν μυστήρια εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα,*
20 *περιθεὶς αὐτὰ ἐνδόξως κύκλῳ, καὶ ἐκωλύθη ἐκ τῆς γῆς*

6 Hebr. 8, 8—12 **7** Ierem. 1, 1; 43, 8 **8** cf. Hebr. 11, 37 **8** Ierem. 43, 9 **10** cf. 2 Macchab. 15, 14; Origenes in Ioan. t. XIII c. 57

1 *διδάξουσιν* B 2 *ἕκαστος* + *τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος* C *καὶ — αὐτοῦ* ∠ C 4 *ἵλεος* A *μὴ* ∠ pv 5 *μιμνησθῶ* v *τῆς χρήσεως* ∠ C 6 *Ἑβραίους*] *Ῥωμαίους* C Romanos (!) L 7 *Ἱερ.* + *οὗτος* A *ἐν* ∠ rv *λίθ. βλ.*] *λιθοβοληθεὶς* A *βληθεὶς*] *δὲ ὑποβληθεὶς* pv 9 *ὅτι*] *οἱ γὰρ* A 10 *δι'*] *ὑπ'* A *αὐτοῖς*] *ὑπὲρ αὐτῶν* A ‖ deest aliquid 11 *θῆρες* + *ἠνόχλουν αὐτόν* A *τῶν — θῆρες*] Cum a bestiis aquaticis turbarentur L 12 *κορκοδείλους* pv 12 *μεννεφ.* AB 13 *θεοῦ*] *θεὸν* p 14 *δήγματα* + *τῶν* p pulverem inde tollunt quo mortales a bestiis illis laesos curant L 15 *τὰ — ὕδατι*] *κατὰ τοῦ ὕδατος* AL *φυγαδ.* + *ὅρα* p 17 *Μακεδόνων* + *βασιλεὺς* A 18 *τάφῳ*] *τόπῳ* Apv 19 *μετέστησεν*] *μετεβίβασεν* A

ἐκείνης τὸ γένος τῶν ἀσπίδων, καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως, καὶ οὕτως ἐνέβαλεν τοὺς ὄφεις τοὺς λεγομένους ἀργολάους ὅ ἐστιν ὀφιομάχους, οὓς ἤνεγκεν ἐκ τοῦ Ἄργους τοῦ Πελοπονησιακοῦ, ὅθεν καὶ ἀργόλαοι καλοῦνται, τουτέστιν Ἄργους δεξιοί, λαλιὰν δὲ ἔχουσιν ἡδυτάτην καὶ πανευώνυμον. 5

Οὗτος ὁ Ἱερεμίας σημεῖον ἔδωκε τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν διὰ σωτῆρος παιδὸς ἐκ παρθένου γεννωμένου, ἐν φάτνῃ δὲ κειμένου. Διὸ καὶ ἕως νῦν θεοποιοῦσιν παρθένον λεχὼ καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσιν. Καὶ Πτολεμαίῳ τῷ βα- 10 σιλεῖ τὴν αἰτίαν πυνθανομένῳ ἔλεγον, ὅτι πατροπαράδοτόν ἐστιν μυστήριον ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν.

Οὗτος ὁ προφήτης Ἱερεμίας πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ, καὶ ἐποίη- 15 σεν αὐτὰ κατατεθῆναι ἐν πέτρᾳ, καὶ εἶπε τοῖς παρεστῶσιν· ἀπεδήμησε κύριος ἐν Σινᾶ εἰς οὐρανόν, καὶ πάλιν ἐλεύσεται νομοθέτης ἐκ Σιὼν ἐν δυνάμει, καὶ σημεῖον ὑμῖν ἔστω τῆς παρουσίας αὐτοῦ, ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνήσουσιν. Εἶπε δὲ ὅτι τὴν κιβωτὸν ταύτην οὐδεὶς ἐκβαλεῖ εἰ μὴ 20 Ἀαρών, καὶ τὰς ἐν αὐτῇ πλάκας οὐδεὶς ἀναπτύξει οὐκέτι ἱερέων ἢ προφητῶν, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς τοῦ θεοῦ. Καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως πρώτη ἡ κιβωτὸς ἀναστήσεται, καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας, καὶ τεθήσεται ἐν ὄρει Σινᾶ. Καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὴν συναχθήσονται, 25 ἐκεῖ ἐκδεχόμενοι κύριον τὸν ἐχθρὸν φεύγοντες, ἀνελεῖν αὐτοὺς

7 Isa. 19, 1 **14** 2 Macchab. 2, 4—8

1 τῶν ∠ p 2 ἐνέβαλλον Arv 3 Ἄγρου p Πελοποννησιακοῦ B Πελοπονικοῦ v 4 ὅθεν — καλοῦνται ∠ p δεξιοί + καλοῦνται p 6 ὁ ∠ A 8 γενομένου B 9 λοχὸν B 13 παράδοτον p 14 Ἱερ. ∠ L 16 πέτρᾳ] πάτρᾳ A 26 ἐκδεχόμενοι + τὸν A ἀνελόντες αὐτὸν ἐλθόντα p ἀνέλετε αὐτὸν ἐλθόντα A

θέλοντα. Ἐν τῇ πέτρᾳ ἐκείνῃ ἐσφράγισε τῷ δακτύλῳ τὸ ὄνομα τοῦ θεοῦ, καὶ ἐγένετο ὁ τύπος ὡς γλυφὴ σιδήρου, καὶ νεφέλη φωτεινὴ ἐσκέπασε τὸ ὄνομα, καὶ οὐδεὶς νοεῖ τὸν τόπον οὐδὲ ἀναγνῶναι δύναταί τις ἕως σήμερον καὶ ἕως
5 τῆς συντελείας. Ἔστι δὲ ἡ πέτρα ἐν τῇ ἐρήμῳ· ὅπου πρῶτον ἡ κιβωτὸς γέγονε μεταξὺ τῶν δύο ὀρέων, ἐν οἷς κεῖται Μωϋσῆς καὶ Ἀαρών. Καὶ ἐν νυκτὶ νεφέλη ὡς πῦρ γίνεται περὶ τὸν τόπον κατὰ τὸν τύπον τὸν ἀρχαῖον, ὅτι οὐ μὴ παύσηται ἡ δόξα τοῦ θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. Διὰ
10 τοῦτο ἔδωκεν ὁ θεὸς τῷ Ἱερεμίᾳ χάριν, ἵνα τὸ τέλος τοῦ μυστηρίου αὐτοῦ αὐτὸς ποιήσῃ, ἵνα γένηται συγκοίνωνος Μωϋσέως καὶ Ἀαρών, καὶ ὁμοῦ εἰσιν ἕως σήμερον, ἐπειδὴ καὶ ὁ Ἱερεμίας ἐστὶν ἐκ σπέρματος ἱερατικοῦ.

Εἰς τὸν Ἰεζεκιήλ.

15 Οὗτος Ἰεζεκιὴλ ἐν Βαβυλῶνι προφητεύων καὶ αὐτὸς ἠξιώθη προειπεῖν περὶ τῆς κατὰ Χριστὸν οἰκονομίας, καί φησι· καὶ ῥύσομαι αὐτοὺς ἀπὸ πασῶν τῶν ἀνομιῶν αὐτῶν, καὶ καθαριῶ αὐτούς, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ ὁ δοῦλός μου Δαβὶδ ἄρχων ἐν
20 μέσῳ αὐτῶν καὶ ποιμὴν εἷς ἔσται πάντων, ὅτι ἐν τοῖς προστάγμασί μου πορεύσονται. Καὶ πάλιν λέγει, καὶ εἶπε πρός με· τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς τὴν θάλασσαν τὴν πρὸς ἀνατολάς, καὶ κατέβαινεν ἐπὶ τὴν Ἀραβίαν καὶ ἤρχετο ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς καὶ

3 2 Macchab. 2, 7 **8** ibid. v. 8 **17** Ezech. 34, 23—25 **22** ibid. 47, 8. 9

8 περὶ — τόπον] ἐπὶ τοῦ τόπου A 11 ποιήσει v γέννηται pv 13 καὶ + δὲ p Οὗτος + ὁ C 14 Ezechiel L 15 Ἰεζ. + ὁ A 16 ἀξιωθεὶς A 17 φησὶ γὰρ A φησι ∠ καὶ C αὐτῶν] ὧν ἡμάρτησαν ἐν αὐταῖς C 18 ἐγὼ + κύριος C 22 θάλασσαν] Γαλιλαίαν BC 23 τὴν ∠ C Ἀῤῥαβίαν A 24 ἤρχετο + ἕως C τῆς + τὸ A δι' ἐκβ. A

ὑγιάσει τὰ ὕδατα· καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζώων τῶν ἐκζεόντων καὶ ἐπὶ πάντα, ἐφ' ἃ ἂν ἐπέλθῃ, ἐκεῖ ὁ ποταμὸς ζήσεται.

Ἰεζεκιὴλ οὗτός ἐστιν ἐκ τῆς Σαριρᾶ τῶν ἱερέων, καὶ ἀπέθανεν ἐν γῇ Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας, πολλὰ προφητεύσας τοῖς ἐν τῇ Ἰουδαίᾳ. Ἀπέκτεινε δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ λαοῦ Ἰσραὴλ ἐκεῖ, ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασι. Καὶ ἔθαψεν αὐτὸν ὁ λαὸς ἐν ἀγρῷ Μαοὺρ ἐν τάφῳ Σὴθ καὶ Ἀρφαξὰδ πατέρων Ἀβραάμ. Καί ἐστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι Ἀβραὰμ ἐν Χεβρῶν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησε τὸν τάφον Σάῤῥας. Διπλοῦν δὲ λέγεται, ὅτι εἱλικτόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου, καί ἐστιν ὑπερῷον ἐπὶ γῆς ἐν πέτρᾳ κρεμάμενον.

Οὗτος ὁ προφήτης τέρας ἔδωκε τῷ λαῷ, ὥστε προσέχειν τῷ ποταμῷ Χοβάρ, ὅτε ἐκλείποι, ἐλθεῖν τὸ δρέπανον τῆς ἐρημώσεως εἰς πέρας τῆς γῆς, καὶ ὅτε πλημμυρήσει, τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον.

Καὶ γὰρ ἐκεῖ κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ πρὸς αὐτὸν συνήγοντο. Καί ποτε πλήθους συνόντος αὐτῷ ἔδεισαν οἱ Χαλδαῖοι τοὺς Ἑβραίους, μὴ ἀνταράξωσι καὶ ἐπέλθωσιν αὐτοῖς εἰς ἀναίρεσιν. Καὶ ἐποίησεν ὁ προφήτης διαστῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν. Οἱ δὲ κατατολμήσαντες τῶν ἐχθρῶν ἐπιδιώξαντες κατεποντίσθησαν.

Οὗτος ὁ προφήτης διὰ προσευχῆς αὐτομάτως αὐτοῖς

9 Genes. 23, 2. 9. 19 **15. 16** cf. Ezech. 1, 3; 36, 8; 47, 1

2 *ἀπέλθῃ* p *ὁ* ∠ p 4 *ἐξ Ἀριρὰ* B *Σαριρᾶ* + *ἐκ τοῦ γένους* AL *καὶ ἀπέθανεν*] *ἀποθνήσκει δὲ* A *γῇ*] *τῇ χώρᾳ τῶν* A 9 *Σὴθ*] *Ἰωσὴφ* B 11 Sarae L 15 *ἐκλίποι* A *ἐλθεῖν*] *ἐλπίζειν* B *ἐπελθότα* v *ἐπελθῶν* r corr. manu altera *ἐπελθόντα* r 16 *πέρας*] *πέτρας* pv *εἰς* ∠ rv 19 *αὐτῷ* ∠ p *ἔδησαν* B 20 *ἐπῆλθον* A 23 *τῶν ἐχθρῶν*] *ἐξ ἐκείνων* A *ἐπιδιῶξαι αὐτοὺς* A

δαψιλῆ τροφὴν ἰχθύων παρέσχε, καὶ πολλῶν ἐκλειπόντων
ζωὴν αὐτοῖς ἐκ θεοῦ ἐλθεῖν παρεκάλεσεν. Οὗτος ἀπολλυ-
μένου τοῦ λαοῦ σημεῖα ποιήσας ἔπαυσε τοὺς πολεμίους κα-
ταπλήξας αὐτοὺς οὐρανόθεν, ὅτε ἔλεγεν ὁ Ἰσραήλ, ὅτι· δια-
5 πεφωνήκαμεν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν. Καὶ ἐν τέρασι τῶν
ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν, ὅτι ἐστὶν ἐλπὶς τῷ
Ἰσραὴλ καὶ ὧδε καὶ ἐπὶ τοῦ μέλλοντος· οὗτος κρίνων τῷ
Ἰσραὴλ ἐδείκνυε τὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ ναῷ γενόμενα.
Οὗτος ἡρπάγη ἐκεῖθεν, καὶ ἦλθεν εἰς Ἱερουσαλήμ, καὶ εἶπεν
10 τὰ ἐν τῷ ναῷ γενόμενα κατ' αὐτὴν τὴν ὥραν εἰς ἔλεγχον
τῶν ἀπειθούντων τῷ θεῷ.

Οὗτος κατὰ τὸν Μωϋσῆν εἶδε τὸν τύπον τοῦ ναοῦ καὶ
τὸ τεῖχος καὶ περίτειχος καὶ τὴν πύλην, ἐν ᾗ κύριος εἰσ-
ελεύσεται καὶ ἐξελεύσεται. Καὶ ἔσται ἡ πύλη κεκλεισμένη,
15 καὶ εἰς αὐτὸν ἐλπιοῦσι πάντα τὰ ἔθνη.

Οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δὰν καὶ τοῦ
Γάδ, ὅτι ἠσέβουν πρὸς κύριον διώκοντες τοὺς τὸν νόμον
φυλάσσοντας, καὶ ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις
ἀνήλισκον τὰ βρέφη αὐτῶν καὶ πάντα τὰ κτήνη αὐτῶν διὰ
20 τὴν ἀσέβειαν αὐτῶν. Καὶ εἴρηκεν ὅτι δι' αὐτοὺς οὐκ ἐπι-
στρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ, ἀλλ' ἐν Μηδίᾳ ἔσονται
ἕως συντελείας πλάνης αὐτῶν, καὶ ἐξ αὐτῶν ἦν ὁ ἀνελὼν
αὐτὸν [πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ].

1 cf. Ezech. 47, 9 **4** ibid. 37, 11 **10** ibid. c. 8, 3
11 Exod. 25, 9; Ezech. 40; 43, 2; 44, 2; 46, 1. 2. 8. 14 **17** cf.
Genes. 49, 16—19

1 ἐκλιπόντων p 4 Ἰσραήλ] Ἰεζεκιήλ? 7 τὸν Ἰσραὴλ A
8 καὶ — γενόμενα A 10 ἔλεγον r 13 περίτειχος] καὶ τὰ
περὶ τὸ τεῖχος Apv 17 πρὸς + τὸν A 19 κτῆνα r 20 ἐπι-
στρέφει rv Madiam L 23 πάσας — αὐτοῦ ∠ AL

Εἰς τὸν Δανιήλ.

*Οὗτος Δανιὴλ ἐν Βαβυλῶνι προφητεύων καὶ αὐτὸς ἀξιω-
θεὶς προειπεῖν περὶ τοῦ δεσπότου Χριστοῦ φησιν οὕτως·
καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆ-
ναί σοι καὶ τοῦ οἰκοδομηθῆναι Ἱερουσαλὴμ ἕως Χριστοῦ* 5
*ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα δύο· καὶ
τὰ ἑξῆς. Καὶ πάλιν· καὶ ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ
ἐπάταξε τὴν εἰκόνα, καὶ ἐγένετο ὁ λίθος εἰς ὄρος μέγα, καὶ
ἐπλήρωσε τὴν γῆν. Καὶ πάλιν· καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν
τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ* 10
*παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐξεδόθη ἡ τιμὴ καὶ
ἡ ἐξουσία καὶ τὰ λοιπὰ ὅσα ἐῤῥήθη.*

*Δανιὴλ οὗτος ἦν ἐκ φυλῆς Ἰούδα τῶν ἐξεχόντων τῆς
βασιλικῆς ὑπηρεσίας, ἀλλ' ἔτι νήπιος ὢν ἤχθη ἐν τῇ αἰχμα-
λωσίᾳ ἐκ τῆς Ἰουδαίας εἰς γῆν Χαλδαίων. Ἐγεννήθη δὲ ἐν* 15
*Βεθωρὼν τῇ ἀνωτέρᾳ· καὶ ἦν ἀνὴρ σώφρων, ὥστε δοκεῖν
τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα.*

*Πολλὰ ἐπένθησεν οὗτος τὸν λαὸν καὶ ἐπὶ τὴν πόλιν
Ἱερουσαλήμ, καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς
ἐπιθυμητῆς, σπέρματα γῆς ἐσθίων. Καὶ ἦν ἀνὴρ ξηρὸς* 20

4 Dan. 9, 25 **7—9** ibid. 2, 45; 7, 13 **13** ibid. 1, 3: cf. 4 Reg. 20, 18; Isa. 39, 7 **18** Dan. 1, 8. 13

1 Daniel L 2 *Δαν.* + *ὁ* AL 3 *Χριστοῦ* + *καὶ* C *φῆ γὰρ* A *ἀπὸ ἐξόδου λόγου* ∠ v 4 *λόγου* ∠ A *σοι* ∠ C 5 *οἰκοδομῆσαι* C *ἑξήκ. δύο*] *ξβ'* A 7 *ἑξῆς*] *λοιπά* C *καὶ* ∠ C 8 *ἐπάταξε — μέγα*] *ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν* C *ἔφθασε — ἐῤῥήθη*] *ἔφθασε καὶ προσήχθη αὐτῷ. Καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυλαὶ καὶ γλῶσσαι αὐτῷ δουλεύσουσιν. Ἡ ἐξουσία καὶ τὰ λοιπὰ* C 11 *ἐξεδόθη* + *καὶ* A 15 *γῆν*] *τὴν* p 16 *Βεθερὼμ* p *Βεθερὼν* r 18 *σπάδωνα* in margine *τὸν εὐνοῦχον* A ita ut videretur Iudaeis spado L 19 *νηστείᾳ* p *ἤσκ.*] *ἠσθένησεν* A

καὶ σπανὸς τὴν ἰδέαν, ὡραῖος ἐν χάριτι ὑψίστου. Οὗτος πολλὰ ηὔξατο ὑπὲρ τοῦ Ναβουχοδονόσορ, παρακαλοῦντος αὐτὸν Βαλτάσαρ τοῦ υἱοῦ αὐτοῦ, ὅτι ἐγένετο θηρίον καὶ κτῆνος, ἵνα μὴ ἀπόληται. Ἦν γὰρ τὰ ἔμπροσθεν ὡς βοῦς 5 *σὺν τῇ κεφαλῇ, καὶ οἱ πόδες σὺν τοῖς ὄπισθεν λέων. Ἀπεκαλύφθη δὲ τῷ ὁσίῳ περὶ τοῦ μυστηρίου τούτου, ὅτι κτῆνος γέγονε διὰ τὴν ἄλογον αὐτοῦ φιληδονίαν καὶ σκληροτραχηλίαν, καὶ ὅτι ὡς βοῦς ὑποζύγιον γενήσεται τοῦ Βελίαρ, λέων δὲ διὰ τὸ ἁρπακτικὸν καὶ τυραννικὸν καὶ θηριῶδες τοῦ* 10 *τρόπου. Ταῦτα ἔχουσιν οἱ δυνάσται ἐν νεότητι, ἐπὶ τέλει δὲ θῆρες γίνονται, ἁρπάζοντες, ὀλοθρεύοντες, πατάσσοντες ἀναιροῦντες, τυραννοῦντες, ἀσεβοῦντες, τὰς δὲ τούτων ἀμοιβὰς παρὰ τοῦ δικαιοκρίτου θεοῦ ἀπολαμβάνοντες. Ἔγνω δὲ διὰ τοῦ θεοῦ ὁ ἅγιος, ὅτι ὡς βοῦς ἤσθιε χόρτον, καὶ* 15 *ὅτι οὐκ ἐγένετο αὐτῷ ἀνθρωπίνης φύσεως τροφῆς ἐπιθυμία. Διὰ τοῦτο καὶ ὁ αὐτὸς Ναβουχοδονόσορ μετὰ τὴν πέψιν τῆς τροφῆς ἐν καρδίᾳ ἀνθρωπίνῃ γενόμενος ἔκλαιε καὶ ἠξίου κύριον πᾶσαν τὴν ἡμέραν καὶ νύκτα τεσσαρακοντάκις δεόμενος. Δαίμων δὲ ἐπεγίνετο αὐτῷ καὶ ἐλάνθανεν ὅτι γέγονεν* 20 *ἄνθρωπος. Ἤρθη δὲ ἡ γλῶσσα αὐτοῦ τοῦ μὴ λαλεῖν, καὶ νοῶν εὐθὺς ἐδάκρυε, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἦσαν ὡς νεκρὸν κρέας ἐν τῷ κλαίειν· πολλοὶ γὰρ ἐξιόντες ἐκ τῆς πόλεως ἐθεώρουν αὐτόν.*

Ὁ δὲ Δανιὴλ μόνος οὐκ ἤθελεν ἰδεῖν αὐτόν, ὅτι πάντα

14 Dan. 4, 23. 30

1 *ὡραῖος*] *ἀμορραῖος* A *ὕψιστος* p 2 *ηὔξετο* pv 6 *δὲ* ⌊ A 7 *φιληδονίαν* + *αὐτοῦ* A 8 *βελιᾶ* B *ὑπὸ ζυγὸν* A 11 *ἀπατάσσοντες* r 12 *δὲ* ⌊ A 13 *δικαιοκριτοῦ* p *δικαίου κριτοῦ* A *θεοῦ* ⌊ A 15 *καὶ ὅτι — ἐπιθυμ.*] *χόρτον καὶ ἐγένετο αὐτῷ ἀνθρωπίνης βρώσεως τροφή* A 16 *αὐτὸς* ⌊ A 17 *ἐν* ⌊ A *γινόμενος* B 19 *Δαίμων* lacuna in A 20 *δὲ* ⌊ A 21 *εὐθέως* A *ἐδάκρυεν* ⌊ *καὶ* A 22 *ἐκ* ⌊ A

τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ ἐν προσευχῇ ἦν περὶ αὐτοῦ. Ἔλεγε γὰρ ὅτι· πάλιν ἄνθρωπος γενήσεται, καὶ τότε ὄψομαι αὐτὸν, καὶ ἠπίστουν αὐτῷ.

Ὁ Δανιὴλ οὖν τὰ ἑπτὰ ἔτη προσευχόμενος πρὸς τὸν ὕψιστον ᾔτησεν γενέσθαι, οὓς εἶπεν καιρούς, [προσευχόμενος 5 πρὸς τὸν ὕψιστον ἐποίησεν γενέσθαι] μῆνας ἑπτά. Καὶ τὸ μυστήριον τῶν ἑπτὰ καιρῶν ἐτελέσθη ἐπ' αὐτόν, ὅτι ἀποκαταστὰς ἐν ἑπτὰ μησίν, ὡς ἦν τὸ πρίν, τὰ ἓξ ἔτη καὶ πέντε μῆνας ὑπέπιπτε κυρίῳ καὶ ὡμολόγει τὴν ἀσέβειαν αὐτοῦ καὶ πᾶσαν τὴν ἀνομίαν αὐτοῦ, καὶ μετὰ ἄφεσιν τῶν ἀνομιῶν 10 αὐτοῦ ἀπέδωκεν αὐτῷ τὴν βασιλείαν αὐτοῦ, καὶ οὔτε ἄρτον οὔτε κρέας ἔφαγεν οὔτε οἶνον ἔπιεν, ἐξομολογούμενος κυρίῳ, ὅτι Δανιὴλ προσέταξεν αὐτῷ ὀσπρίοις βρεκτοῖς καὶ χλόαις ἐξιλεώσασθαι κύριον. Διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Βαλτάσαρ, ὡς τὸν υἱὸν αὐτοῦ. Ἠθέλησε δὲ αὐτὸν συγκληρονόμον 15 καταστῆναι τῶν τέκνων αὐτοῦ. Ἀλλ' ὁ ὅσιος εἶπεν. Ἵλεώς μοι ἀφεῖναί με κληρονομίαν πατέρων μου καὶ κολληθῆναί με κληρονομίᾳ ἀπεριτμήτων. Καὶ τοῖς ἄλλοις βασιλεῦσι Περσῶν πολλὰ ἐποίησε τεράστια ὅσα οὐκ ἐγράφησαν. Οὗτος δὲ ἀπέθανεν, καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τῷ βασιλικῷ μόνος 20 ἐνδόξως. Καὶ αὐτὸς ἔδωκε τέρας ἐν ὄρεσι τοῖς ὑπεράνω τῆς Βαβυλῶνος ὅτι· ὅτε καπνισθήσεται τὸ ἐκ βοῤῥᾶ, τότε ἥξει τέλος Βαβυλῶνος· [ὅτε δὲ κατ' ἀνατολὰς ὕδωρ καθαρὸν

4 Dan. 4, 29. 30 **11** ibid. 4, 33 **14** ibid. 1, 7; 4, 5 s **22** Ezech. 47, 1 ss

4 ἔτη + οὓς εἶπεν ἑπτὰ καιρούς A 5 ᾔτησεν] ἐποίησεν A γενέσθαι — ἐποίησεν ∟ A προσευχόμενος — ὕψιστον ∟ p 8 ὡς — πρίν ∟ A 10 μετὰ — αὐτοῦ ∟ p τῆς ἀνομίας A 12 κρέα B 13 αὐτῷ + ἐν A βρεκτοῖς + σκαλίαις r χλωροῖς p σχολαῖς r 15 ὡς — δέ] ὅτι ἠθέλησεν A 17 μοι + κύριε A με ∟ A καὶ + μὴ r κληρονομίας p 19 τεράστεια pv οὗτος — ἀπέθ.] Ἀπέθανε δὲ Δανιὴλ ἐν γῇ Χαλδαίων AL 22 ἐκκαπνισθήσεται A 23 ὅτε — p. 52, 5 ἔθνη ∟ A

ἐξελεύσεται, τότε ὁ θεὸς ἐπὶ γῆς φανεὶς ὡς ἄνθρωπος ἀναδέξεται πάσας τὰς ἀνομίας τοῦ κόσμου εἰς ἑαυτὸν ἐν τῷ ἀνασκολοπίζεσθαι αὐτὸν ὑπὸ τῶν ἱερέων τοῦ νόμου. Καὶ εὐθὺς πνεύματος χάρις ἐπὶ γῆς ἐκχυθήσεται εἰς πάντα τὰ
5 ἔθνη.] Ὅτε δὲ ἐν πυρὶ καίεται, τότε τέλος ἔσται τῆς γῆς. Ἐὰν δὲ ἐν τῷ νότῳ ῥεύσῃ ὕδατα, ὑποστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ. Ἐὰν δὲ αἷμα ῥεύσῃ, φόνος ἔσται τοῦ Βελίαρ ἐν πάσῃ τῇ γῇ. Καὶ ἐκοιμήθη ἐν εἰρήνῃ ὁ ὅσιος τοῦ θεοῦ.

10 **Εἰς τὸν Ἠλίαν.**

Οὗτός ἐστιν Ἠλίας ὁ πρῶτος ἀνθρώπων τοῖς ἀνθρώποις ὑποδείξας οὐρανοδραμεῖν, ὁ πρῶτος ἀνθρώπων ὑποδείξας ὁ τὴν γῆν λαχὼν οἰκητήριον καὶ τὸν οὐρανὸν ἀθρόον διατρέχων, ὁ θνητὸς ὑπάρχων καὶ τοῖς ἀθανάτοις ἁμιλλώμενος,
15 ὁ χαμαὶ βαδίζων καὶ ὡς πνεῦμα μετ' ἀγγέλων οὐρανοπολῶν· ὁ διὰ τῆς μηλωτῆς τῷ μαθητῇ Ἐλισσαίῳ διπλᾶ τὰ χαρίσματα μεταδούς· ὁ μακροχρόνιος καὶ ἀγήρως ἄνθρωπος, ὁ τῷ Ἀντιχρίστῳ διατηρούμενος στρατηγός, ὁ ἀντικαθιστάμενος καὶ διελέγχων τὴν ἀπάτην καὶ τὴν ὑπερηφανίαν αὐτοῦ, ὁ
20 πάντας ἀνθρώπους ἐκ τῆς πλάνης αὐτοῦ ἐπὶ τὸν θεὸν ἐν τῇ συντελείᾳ ἐπιστρέφων· οὗτος ὁ τῆς δευτέρας καὶ ἐπιφανοῦς παρουσίας τοῦ δεσπότου Χριστοῦ ἀξιούμενος εἶναι πρόδρομος ὁ μέτρῳ διακονιῶν τοῖς ἀγγέλοις ἁμιλλώμενος.

5 ἔσται ∠ Ar ἐν — νότῳ] morbo L 6 ῥεύσει pv 7 τοῦ Βελίαρ ∠ L 9 θεοῦ + Hactenus de prophetis qui libros conscripserunt, iam consequenter et de illis dicendum est, quorum nulli libri circumferuntur L 10 Ἠλίας B + ὁ Θεσβίτης B 11 οὗτος — ἁμιλλώμενος in chronico paschali et apud Cosmam Indic. initium omnium prophetarum exstat, sed in A et L hoc in loco 12 οὐρανοδραμεῖν — ἀνθρώπων ∠ p ὑποδ. + ἀγγέλων καὶ ἀνθρώπων μίαν ὁδόν AC ὁ ∠ C 13 ἀθρῷον v ἀθρῶν p ἀθρ. + καὶ v 15 οὐρανοπορῶν C 21 συντελείᾳ + τοῦ αἰῶνος C 23 ὁ μετὰ B ὧ μέτρα C ἁμιλλώμενα Crv

Οὗτος ἦν ἐκ γῆς Ἀράβων, φυλῆς Ἀαρών, οἰκῶν ἐκ Γαλαάδ, ὅτι ἡ Θέσβις δῶμα ἦν τοῖς ἱερεῦσιν. Ὅτε δὲ ἔμελλε τεχθῆναι, εἶδεν Σωβαχὰ ὁ πατὴρ αὐτοῦ, ὅτι ἄγγελοι λευκοφανεῖς αὐτὸν προσηγόρευον καὶ ὅτι ἐν πυρὶ αὐτὸν ἐσπαργάνουν καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν. Καὶ 5
ἐλθὼν ἀνήγγειλεν εἰς Ἱερουσαλήμ, καὶ εἶπεν αὐτῷ ὁ χρησμός· μὴ δειλιάσῃς· ἔσται γὰρ ἡ οἴκησις αὐτοῦ φῶς καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί.

Εἰς τὸν Ἐλισσαῖον.

Οὗτος ὁ Ἐλισσαῖος ἦν ἐξ Ἀβελμαοὺλ γῆς τοῦ Ῥουβίμ. 10
Καὶ ἐπὶ τούτου γέγονε τέρας, ὅτι ἡνίκα ἐτέχθη, ἐν Γαλγάλοις ἡ δάμαλις ἡ χρυσὴ ὀξὺ ἐβόησεν, ὥστε ἀκουσθῆναι εἰς Ἱερουσαλήμ, καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν δήλων ὅτι· προφήτης ἐτέχθη εἰς Ἱερουσαλήμ, ὃς καθελεῖ τὰ γλυπτὰ αὐτῶν καὶ τὰ χωνευτὰ αὐτῶν. Καὶ θανὼν ἐτάφη ἐν Σαμαρείᾳ. 15

Εἰς τὸν Ζαχαρίαν.

Ζαχαρίας υἱὸς Ἰωδαὲ τοῦ ἱερέως. Οὗτος ἦν ἐξ Ἱερουσαλήμ, καὶ ἀπέκτεινεν αὐτὸν Ἰωὰς ὁ βασιλεὺς Ἰούδα ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ ἐξέχεε τὸ αἷμα αὐτοῦ ὁ οἶκος Δαβὶδ

1 3 Reg. 17, 1 **8** Isa. 66, 16 **10** 3 Reg. 19, 16 **17** 2 Chron. 24, 20 **18** cf. 4 Reg. 12 **19** Mt. 23, 35; Lc. 11, 51

1 *Ἀῤῥάβων* + Thesbites AL *ἐκ*] *ἐν* B *ἐκ* ∠ p 2 *ἡ* ∠ A *δόμα* A *οὗτος ὅταν* B *Σοβαχὰ* A Sabacha L *Σβαχὰ* p 4 *ὅτι* ∠ A 6 *ὁ* ∠ A 9 Elisaeus L 10 *ὁ* ∠ A *Ἐλισσαῖος* ∠ L Abelbuel L *Ἀβελμουήλ* A *Ῥουβὶν* B 11 *ὅτι* ∠ A *ἡνίκα* + *γὰρ* A 13 *καὶ* — 14 *Ἱερουσαλὴμ* ∠ p *ἱερεὺς* — *προφήτης* lacuna A 15 *θανὼν* + *δὲ* A 16 Zacharias L 17 *Οὗτος Ζαχαρίας ὑ τὸ δρέπανον, ὁ* A Hic Zacharias, falcifer L 18 *ἀπέκτεινε δὲ* A

ἀνὰ μέσον ἐπὶ τοῦ Ἐλάμ. Καὶ λαβόντες αὐτὸν οἱ ἱερεῖς ἔθαψαν μετὰ τοῦ πατρὸς αὐτοῦ.

Εἰς τὸν Ναθάν.

Οὗτος Ναθὰν ὁ προφήτης ἦν ἐκ Γαβαὼν ἐπὶ Δαβὶδ
5 *καὶ αὐτὸς ἦν ὁ διδάξας αὐτὸν τὸν νόμον τοῦ κυρίου καὶ εἶδεν, ὅτι Δαβὶδ ἐν τῇ Βηρσαβεὲ παραβήσεται καὶ σπεύδοντι ἐλθεῖν καὶ ἀναγγεῖλαι αὐτῷ ἐνεπόδισεν ὁ Βελίαρ. Ἐρχόμενος δὲ κατὰ τὴν ὁδόν, εὗρε νεκρὸν κείμενον γυμνὸν ἐσφαγμένον· καὶ ἀπέμεινε δι' αὐτὸν ἐκεῖ. Οὗτος ἀπέθανε καὶ ἐτάφη*
10 *εἰς τὴν γῆν αὐτοῦ ἐν Γαβαών.*

Εἰς τὸν Ἀχία.

Οὗτος Ἀχίας ἦν ἐν Σιλώμ, ὅπου ἦν ἡ σκηνὴ ἡ παλαιὰ ἐκ πόλεως Ἡλί, καὶ ἀπέθανε καὶ ἐτάφη σύνεγγυς τῆς δρυὸς Σιλώμ· ὁ δὲ αὐτὸς καὶ Ἀδωνίας λέγεται.

15
Εἰς τὸν Ἰωάθ.

Οὗτος Ἰωὰθ ἦν ἐκ γῆς Σαμαρίν, ἐπάταξε δὲ αὐτὸν ὁ λέων, καὶ ἀπέθανε, καὶ ἐτάφη ἐν Βεθὴλ ἐγγὺς τοῦ ψευδοπροφήτου τοῦ πλανήσαντος αὐτόν.

4 2 Reg. 7, 2; Sir. 47, 1 **5** 2 Reg. 11; 12, 1 ss **12** 3 Reg. 11, 29; 12, 15 **16** ibid. 13, 24. 29

1 *ἐπὶ τοῦ Ἐλάμ*] sub Elam L 3 Inde omnes alii in Chronico Paschali desunt 3 *Νάθαν* A *ὁ προφ.* ∟ L 7 *ἐλθεῖν* + ut regem praemoneret L 9 *καὶ — ἐκεῖ*] cuius ibi gratia aliquamdiu haesit L 11 Achias L *Ἀχιά* A 12 *Ἀχίας* ∟ Ls *Σηλώμ* s *ἡ παλαιά*] *πάλαι* s 13 *Ἡλὶ* ∟ *καὶ* s 14 *δὲ* ∟ s *λέγεται* ∟ s 15 Ioath Ls 16 *Ἰωάθ* ∟ s Samariae Ls *Σαμ.* + *ὃν* s *δὲ αὐτὸν* ∟ s 18 *τοῦ πλανήσ. αὐτ.*] *ἀφ' οὗ ἠπατήθη* s

Εἰς τὸν Ἀζαρίαν.

Οὗτος Ἀζαρίας ἦν ἐκ γῆς Συνάθα· ὃς ἀπέστρεψεν ἐξ Ἱερουσαλὴμ τὴν αἰχμαλωσίαν Ἰούδα, καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

Ἰεφθὰ δὲ Δαβίδ τε καὶ Σαμουήλ, ἕκαστος αὐτῶν, ἐν τῇ ἰδίᾳ αὐτοῦ ἐτάφη πόλει ἀποθανών. 5

Τέλος τῶν προφητῶν ἤγουν τῆς γενέσεως αὐτῶν καὶ τῆς βιωτικῆς καὶ τῆς τελευτῆς.

C.

DE PROPHETARUM VITA ET OBITU LIBRI EPIPHANIO ADSCRIPTI RECENSIO ALTERA. 10

A = Coisl. 120 saec. X fol. 218.
A[1] = Vindob. theol. gr. 89 (Nessel 184) saec. XIII—XIV fol. 298.
a = editio Tischendorf secundum Coisl.
B = Laurent. plut. IV cod. 6 saec. XI fol. 226ᵛ. 15
C = Paris. 1085 anni 1001 fol. 248ᵛ.
D = Coisl. 258 saec. XII fol. 200ᵛ.
E = Fragmenta cod. Augustani Petavii.

ΕΠΙΦΑΝΙΟΥ ΠΕΡΙ ΤΩΝ ΙϚ ΠΡΟΦΗΤΩΝ ΠΟΘΕΝ ΗΣΑΝ ΚΑΙ ΠΟΥ ΕΤΕΛΕΙΩΘΗΣΑΝ. 20

α΄. Ὡσηὲ υἱὸς Βεηρὶ ἦν ἐκ Βελεμὼθ φυλῆς Ἰσάχαρ καὶ θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ. Καὶ ἔδωκεν τέρας

2. 3 2 Chron. 15, 1. 8; 28, 9 s **20** Ose. 1, 1

1 Azarias Ls 2 Sinatha L *Συνβαθά* s *ὁ ἀποστρέψας* s 3 *καὶ θανὼν*] *ἐκοιμήθη καὶ* s 5 *Ὁ δὲ Ἰ.* s *ἐν τῇ ἑαυτοῦ πόλει ἀπέθανε καὶ ἐτάφη* s 7 *τέλος* — 8 *τελευτῆς* ∟ Ls 19 *Ἐπιφανίου*] *τοῦ αὐτοῦ* AaBCD *Ἐπιφανίου* ∟ A[1] *ἓξ καὶ δέκα* A[1] *προφ.* + *καὶ* A[1] 21 *Ὡσιὲ* AaB *Βεϊρὶ* AB *βαρὴ* A[1] *φυλῆς* A[1] 23 *ἐννειρήνῃ* C *δέδωκεν δὲ* CD

ἥξειν τὸν κύριον ἐπὶ τῆς γῆς. Ἐάν φησιν ἡ δρῦς ἡ ἐν
Σιλὼμ μερισθῇ εἰς ιβ´ ἀφ᾽ ἑαυτῆς καὶ γένωνται δρύες ιβ´.

β´. Ἀμὼς ἦν ἐκ Θεκουὲ καὶ ἀνῃρέθη ὑπὸ τοῦ υἱοῦ
Ἀμασίου, πλήξας αὐτὸν ἐν ῥομφαίᾳ κατὰ τὸν κρόταφον.
5 Καὶ ἔτι ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ καὶ μεθ᾽ ἡμέρας
γ´ τελευτήσας ἐτάφη ἐκεῖ.

γ´. Μιχαίας υἱὸς Ἱεραμῶς ὁ Μωραθίτης γέγονεν ἐκ
φυλῆς Ἐφραΐμ, καὶ πολλὰ ποιήσας τῷ Ἀχαὰβ ὑπὸ Ἰωρὰμ
τοῦ υἱοῦ αὐτοῦ ἀνῃρέθη κρημνῷ, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ
10 ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

δ´. Ἰωὴλ υἱὸς Βαθουὴλ ἦν ἐκ φυλῆς Ῥουβὶμ ἐξ ἀγροῦ
Θεβορῶν καὶ θανὼν ἐν εἰρήνῃ ἐτάφη ἐκεῖ.

ε´. Ἀβδιοῦ ἦν ἐκ γῆς Συχέμ, ὁ καὶ τρίτος πεντηκόν-
ταρχος οὗ ἐφείσατο Ἠλίας· καὶ κατέβη πρὸς Ὀχοζίαν. Μετὰ
15 δὲ ταῦτα ἀπολείπων τὴν λειτουργίαν τοῦ βασιλέως προεφή-
τευσε· καὶ θανὼν ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ.

ϛ´. Ἰωνᾶς υἱὸς Ἀμαθῆ ἦν ἐκ γῆς Καριαθαρὶμ πλησίον
Ἀζώτου πόλεως κατὰ θάλασσαν· καὶ ἐκβρασθεὶς ἐκ τοῦ
κήτους καὶ ἀπελθὼν εἰς Νινευΐ, καὶ ἀνακάμψας οὐκ ἔμεινεν
20 εἰς τὴν γῆν αὐτοῦ, ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ
παρῴκησεν τὴν Σοὺρ χώραν τῶν ἀλλοφύλων. Ἔλεγεν γάρ,
ὅτι· οὕτως ἀφελῶ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας
κατὰ Νινευΐ τῆς πόλεως. Ἦν δὲ τότε ἐλέγχων Ἠλίας τὸν

3 Amos 1, 1; 7, 10 7 Mich. 1, 1; Ierem. 26, 28 8 3 Reg. 22, 8 s 13 4 Reg. 1, 13 s 19 Ion. 2, 1; 4, 2 23 3 Reg. 17, 1 s

1 ἧξαι aBCD τὸν ⌊ A^1 2 Σιλὼθ CD ιβ´] δώδεκα A^1 γένονται AA^1 δρύεις A 3 Ἀμῶς aE 4 πλήξαντος A^1 6 γ´ ⌊ A^1 7 υἱὸς ⌊ D Ἱεραμὼ E Μωρασθίτης E Μωραθήτης A^1 9 ἀνῃρέθε A^1 κριμνῷ BE 11 Ρουβίν A^1 12 Θεβοράν E 13 prius Ionam, deinde Abdiam ponunt AA^1 14 ἐφήσατο AA^1 Ἰχοζίαν A^1 15 ἀπολιπὼν A^1 17 Καριαθιαρὶμ A^1C Καριαθιαρεὶμ D 19 Νηνευΐ ACE 21 παρῴκισε A^1 Σοῦρ CD 22 ὀφελῶ A^1

Ἀχαὰβ καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγε. Καὶ ἐλθὼν εὗρε τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτοῦ· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων. Καὶ εὐλόγησεν αὐτὴν καὶ θανόντα τὸν υἱὸν αὐτῆς Ἰωνᾶν πάλιν ἐκ νεκρῶν ὁ θεὸς διὰ τοῦ Ἠλία ἀνέστησεν. Ἠθέλησεν γὰρ δεῖξαι αὐτῷ, ὅτι οὐ δύναται ἀπο- 5 δρᾶσαι θεόν. Καὶ μετὰ τὸν λιμὸν ἐλθὼν ἐν τῇ γῇ Ἰούδα ἐν Σαάρ, καὶ θανὼν ἐτάφη ἐκεῖ. Καὶ ἔδωκε τέρας ἐπὶ Ἱερουσαλὴμ λέγων· ὅτε ἴδωσιν λίθον βοῶντα οἰκτρῶς, ἐγγίζει τὸ τέλος· ὅτε δὲ ἴδωσιν ἐν Ἱερουσαλὴμ πάντα τὰ ἔθνη, τότε ἡ πόλις ἐδαφισθήσεται. 10

ζ'. Ναοὺμ υἱὸς Ἐλκεσαίου ἦν ἀπὸ Ἰεσβῆ φυλῆς Συμεών· καὶ μετὰ τὸν Ἰωνᾶν τῇ Νινευῒ τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων καὶ πυρὸς ὑπογείου ἀπολεῖται. Ὅπερ καὶ γέγονεν· ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη κατέλυσεν ἐν σεισμῷ, καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐξῆλθεν καὶ τὸ ὑψηλότερον αὐτῆς 15 ἐνεπύρησεν μέρος. Καὶ θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

η'. Ἀμβακοὺμ ἦν ἐξ ἀγροῦ Βιδζουχάρ, φυλῆς Συμεών. Καὶ εἶδε πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ, καὶ ἐπένθησε σφόδρα· καὶ ὅτε ἦλθε Ναβουχοδονόσορ ἐν Ἱερουσαλήμ, ἔφυγεν εἰς Ὀστρακίνην, καὶ ἦν πάροικος ἐν γῇ 20 Ἰσμαήλ. Ὡς δὲ ἐπέστρεψαν οἱ Χαλδαῖοι, καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατέβησαν εἰς Αἴγυπτον, ἦν οὗτος παροικῶν τὴν γῆν αὐτοῦ καὶ λειτουργῶν θερισταῖς τοῦ λαοῦ

1 3 Reg. 17, 9 **3** ibid. 17, 17 Ps. Athanas. quaest. ad Antioch. 65 (Migne 28, 633 C) **8** Habac. 2, 11 **12** Nah. 2, 9 s **14. 15** ibid. 1, 8; 3, 15 **18** Habac. 1, 6 ss c. 2 **23** Dan. 14, 32 ss

5 ἀποδράσαι CDE 8 ἴδωσε A[1] 9 ἐν] ἐπὶ A[1] ἐν Ἱερουσαλὴμ ∠ E 11 Ἐλκεσίου AB ἰεσβὴ A 12 τὴν Νηνευὶ CD 13 ὑπὸ] ἀπὸ A[1] ὕδατος A[1] 14 κατέκλυσεν A[1]B ἐν ∠ A[1] 16 ἐνέπρησε A[1] 17 Ἀββακοὺμ A[1] Βιθζουχάρ A[1] Βδζουδούχαρ C Βδζουχάρ D 18 ἴδεν AaBE 19 Ναβουχοδοσονοωρ A 20 margini col. rubro ascript. παροικίαν A 22 Αἴγ. + καὶ A[1] ἦν + δὲ D οὗτος] οὕτως AD

αὐτοῦ. Ὡς δὲ ἔλαβε τὸ ἔδεσμα ἀπενέγκαι τοῖς ἐργάταις, προεφήτευσε τοῖς ἰδίοις εἰπών· πορεύομαι εἰς γῆν μακράν, καὶ ταχέως ἐλεύσομαι. Ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τοῖς θερισταῖς τὸ ἄριστον αὐτῶν. Καὶ γενόμενος ἐν Βαβυλῶνι
5 καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδενὶ εἶπεν τὸ γεγονός. Συνῆκε δὲ ἐκ τούτου, ὅτι τάχειον ἐπιστρέψει ὁ λαὸς ἐκ Βαβυλῶνος. Καὶ πρὸ δύο ἐτῶν τῆς ἐπιστροφῆς θανὼν ἐτάφη ἐκεῖ ἐν ἀγρῷ. Ἔδωκε δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς,
10 καὶ οὕτως ἴδωσι τὴν δόξαν τοῦ ναοῦ. Καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται, καὶ τότε τὸ ἅπλωμα, φησί, τοῦ Δαβὴρ εἰς μικρὰ διαῤῥαγήσεται, καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσεται, καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται· ταῦτα δὲ ἐν τῇ ἐρήμῳ ἀπε-
15 νεχθήσονται ὑπὸ ἀγγέλου, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ τοῖς ἐπὶ τέλει γνωσθήσεται κύριος.

θ΄. Σοφονίας, υἱὸς Χουσῆ, ἦν ἐξ ἀγροῦ Σαβαραθᾶ, φυλῆς Συμεών· προεφήτευσε δὲ περὶ τῆς πόλεως καὶ περὶ τοῦ τέλους τῶν ἐθνῶν καὶ τῆς αἰσχύνης τῶν ἀσεβῶν· καὶ
20 τελευτήσας ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

ι΄. Ἀγγαῖος νέος ἦλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσε, καὶ εἶδε ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ. Καὶ θανὼν ἐτάφη ἐνώπιον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως.

25 ια΄. Ζαχαρίας υἱὸς Βαραχίου ἦλθεν ἀπὸ Χαλδαίων εἰς Ἱερουσαλήμ, ἤδη προβεβηκώς· κἀκεῖ τῷ λαῷ πολλὰ προεφή-

18 Zachar. 14, 12. 18; cf. Soph. 1 **23** Agg. 1, 8; 2, 10 **24** Zach. 1, 1

2 προεφύτευσεν A[1] ἰδίοις] Ἰουδαίοις A[1] 6 γεγονὼς A συνοῖκε A[1] τάχιον A[1] 9 Ἰουδαῖα D 12 τὸ A[1] Διαβὴρ AaB περὶ τοῦ δαβὴρ margini adscript. A 14 ποὺ A[1] 15 ἀρχὴ A[1] 17 σαβαραθά A 23 ἴδεν Aa οἰκοδ. τ. ναοῦ] ἐπιστροφὴν τοῦ λαοῦ CD 24 ἔνδοξος D 26 προεφύτευσε A[1]

τευσε, καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν. Ὅς καὶ τῷ Ἰωσεδὲκ εἶπεν, ὅτι γεννήσεις υἱόν, καὶ ἐν Ἱερουσαλὴμ ἱερατεύσει, καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ ηὐλόγησε, καὶ τὸ ὄνομα Ζοροβάβελ ἐπέθηκε· καὶ ἐπὶ Κύρου τέρας ἔδωκεν εἰς νῖκος καὶ περὶ τῆς λειτουργίας αὐτοῦ προηγόρευσεν, ἣν ποιήσει ἐν Ἱερουσαλήμ, καὶ ηὐλόγησεν αὐτόν· καὶ περὶ τέλους ἐθνῶν, καὶ Ἰσραὴλ, καὶ τοῦ ναοῦ καὶ ἀργίας προφητῶν καὶ ἱερέων προεφήτευσεν. Ἀπέκτεινε δὲ αὐτὸν Ἰωὰς βασιλεὺς Ἰούδα μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, παραινοῦντα αὐτῷ τε καὶ τῷ λαῷ ἀπέχεσθαι τῆς ἀσεβείας καὶ ἐπιστρέφειν πρὸς θεόν, καὶ λαβόντες αὐτὸν οἱ ἱερεῖς ἔθαψαν μετὰ τοῦ πατρὸς αὐτοῦ. Καὶ ἀπὸ τότε ἐγίνοντο τέρατά τε ἐν ναῷ πολλὰ φαντασιώδη. Καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν ὀπτασίαν ἀγγέλων θεοῦ, οὔτε δοῦναι χρησμοὺς ἐκ τοῦ Δαβὴρ οὔτε διὰ τῶν δήλων ἀποκριθῆναι ἐν τῷ λαῷ ὡς τὸ πρίν.

ιβ'. Μαλαχίας μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ τίκτεται ἐν Σοφᾷ, ὃς νέος ὢν βίον εἶχε καλὸν πάνυ. Καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ἅγιον, ἐκάλεσαν αὐτὸν Μαλαχίαν, ὅ ἐστιν ἄγγελος. Ἦν γὰρ καὶ τῷ εἴδει εὐπρεπὴς καὶ τῷ λαῷ πληρωτής. Ὅσα γὰρ εἶπεν αὐτοῖς ἐν προφητείᾳ, αὐτῇ

6. Zachar. 9, 8; 14, 12 **7** ibid. 1, 16; 4, 9; 6, 12 ss; 13, 2—22 **19** Malach. 3, 1

3 Σαλαθαὴλ A[1] Ζωροβάβελ E 4 νίκος CD margini adscriptum περὶ τῆς λειτουργίας αὐτοῦ A 7 ναοῦ + ἐκθεμελίων καταστραφῆς (!) A[1] προεφήτευσεν] σαββάτων καὶ περὶ διπλῆς κρίσεως· καὶ ἀπέθανεν ἐν γήρει μακρῷ· καὶ ἐτάφη ἐγγὺς Ἐλευθεροπόλεως ἀπὸ σταδίων τεσσαράκοντα ἐν ἀγρῷ τοῦ Νοεμάν· ἐν τοῖς χρόνοις δὲ Αἰφίδου ἐπισκόπου· ἐμφανισθεὶς ὅτι αὐτός ἐστι Ζαχαρίας, υἱὸς Βαραχίου, οὗ μέμνηται Ἡσαΐας· ὄνομα δὲ τῷ ἀγρῷ, ἔνθα κεῖται Βεθσαρία μήκοθεν Ἱερουσαλὴμ ἀπὸ σταδίων ρν'. A[1] 8 Ἰωὰς ∟ A[1] 10 πρὸς + τὸν A[1] 12 ἐγένοντο E τε] πολλὰ CD quae in marginibus in A scripta sunt, non animadvertuntur, quia inania A 13 ἀγγέλων ∟ A[1] 17 Σωχά Aa σοχᾶ A[1] 20 πληρωτῆς A[1] πληρωθεὶς a

τῇ ἡμέρᾳ ὀφθεὶς ἄγγελος κυρίου ἐβεβαίωσε. Καὶ ἔτι νέος
ὢν ἐτελειώθη καὶ ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

ιγ΄. Ἡσαΐας υἱὸς Ἀμὼς ἦν ἀπὸ Ἱερουσαλήμ· ἀναιρεθεὶς
δὲ ὑπὸ Μανασσῆ, πρισθεὶς εἰς δύο ἐτάφη ὑποκάτω δρυὸς
5 Ῥωγήλ, πλησίον τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν
Ἐζεκίας χώσας αὐτά. Καὶ ὁ θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ
διὰ τὸν προφήτην ἐποίησεν, ὅτι πρὸ τοῦ θανεῖν ὀλιγορήσας
ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ.
Καὶ διὰ τοῦτο ἐπεκλήθη Σιλωάμ, ὅ ἐστιν ἀπεσταλμένος.
10 Καὶ Ἐζεκίας ἐπὶ τῶν εὐχῶν τούτου ἐποίησε τοὺς λάκκους
καὶ τὰς κολυμβήθρας. Μικρὸν γὰρ ἦν ὕδωρ ἐξεληλυθός,
ὅτε ἦν ὁ λαὸς ἐν συγκλεισμῷ ἀλλοφύλων· καὶ ἵνα μὴ δια-
φθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα ὕδωρ, ἐποίησε τοῦτο. Καὶ
ὅταν οὖν ἤρχοντο οἱ πολέμιοι ἀντλῆσαι, οὐκ ἤρχετο ὕδωρ·
15 ὅταν δὲ Ἰουδαῖοι ἤρχοντο, ἤρχετο καὶ τὸ ὕδωρ. Ὅθεν ἕως
τοῦ νῦν αἰφνίδιον ἐξέρχεται τὸ ὕδωρ, ἵνα δειχθῇ τὸ μυστή-
ριον τοῦ θεοῦ. Καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονε,
μνήμης χάριν καὶ ὁ λαὸς πλησίον αὐτὸν ἔθαψεν ἐνδόξως,
ἵνα διὰ τῶν εὐχῶν αὐτοῦ ὡσαύτως ἔχωσιν τὴν ἀπόλαυσιν
20 τοῦ ὕδατος, ὅτι χρησμὸς ἐδόθη αὐτοῖς περὶ τούτου. Ἔστιν
δὲ ὁ τάφος ἐχόμενα τοῦ τάφου τῶν βασιλέων, ὄπισθεν τοῦ
τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομὼν

2 Iudic. 2, 1 **3—4** ascensio Isaiae (aethiopice) c. 5. Cf. Hebr. 11, 37; Iustin dial. c. Tryph. c. 120 etc. **5** 2 Chron. 32, 4; Sir. 48, 17 **9** Ioa. 9, 7 **10** cf. Isa. 22, 9—11

1 ἡμέρᾳ] ὥρᾳ A 2 αὐτοῦ ∟ E 3 ἀνῃρέθη CD πρησθεὶς A[1] δύο + καὶ CD 5 ἀπόλεσεν A χόσας ACD 7 τῶν προφητῶν D θανὴν C ὀλιγωρήσας A[1]CD ὀλιγ. + καὶ A[1] 12 ἀλοφύλων A καὶ ∟ BCD διαφθαρὴ A[1] 14 ἀντλῆσαι + ὕδωρ BCD ἐξήρχετο CD 15 ἐξήρχετο CD ἐξήρχεται A[1] 18 αὐτὸν] αὐτῆς manu rec. correct. D αὐτὸν + καὶ μετὰ θάνατον αὐτοῦ in AB margini adscriptum, in A[1]CD in contextu 20 ἐδώθη A 21 τάφος + αὐτοῦ A[1]

γὰρ ἐποίησε τοὺς τάφους τοῦ Δαυὶδ διαγράψαντος κατὰ ἀνατολὰς τῆς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαώ, μήκοθεν τῆς πόλεως σταδίους κ΄ καὶ ἐποίησε σκολιὰν σύνθεσιν ἀνυπονόητον, καὶ ἔστιν ἕως τοῦ νῦν τοῖς πολλοῖς ἀγνοουμένη. Ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα. Καὶ ἐπειδὴ Ἐζεκίας ἔδειξε τοῖς ἔθνεσι τὸ μυστήριον Δαυὶδ καὶ Σολομῶντος, καὶ ἐμίανεν ὀστᾶ πατέρων αὐτοῦ, διὰ τοῦτο ὁ θεὸς ἐπηράσατο εἰς δουλείαν τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ, καὶ ἄκαρπον ἐποίησεν ὁ θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης.

ιδ΄. Ἱερεμίας ἦν ἐξ Ἀναθὼθ καὶ ἐν Τάφναις τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει. Κεῖται δὲ πλησίον τῆς οἰκίας Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργετηθέντες δι' αὐτοῦ· ηὔξατο γάρ, καὶ αἱ ἀσπίδες αὐτοὺς ἔασαν καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσιν οἱ Αἰγύπτιοι μὲν Ἐφώθ, Ἕλληνες δὲ κροκοδείλους, οἳ ἦσαν αὐτοὺς θανατοῦντες, καὶ εὐξαμένου τοῦ προφήτου ἐκωλύθησαν ἐκ τῆς γῆς ἐκείνης τὸ γένος τῶν ἀσπίδων καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως τὸ ἔνεδρον τῶν θηρίων. Καὶ ὅσοι εἰσὶ πιστοὶ θεοῦ, ἕως τοῦ νῦν εὔχονται ἐν τῷ τόπῳ ὅπου κεῖται, καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀσπίδων θεραπεύουσιν, καὶ τὰ θηρία τοῦ ὕδατος φυγαδεύουσιν. Ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου γε-

4 4 Reg. 20, 13 s; 2 Chron. 32, 27 **8** 4 Reg. 20, 18 **11** Ierem. 1, 1; 43, 8 **12** cf. Hebr. 11, 37; cf. Ierem. 43, 9

1 ἀναγράψαντος AB 2 Γαβαῶ BCD Γαβαών A 3 σταδίους — ἐποίησεν ∟ CD 4 ἀγνοούμενος C 5 Αἰθιωπίας A^1 6 μυστήριον + τοῦ E 7 Σολομῶν E ὀστᾶ + τόπων A^1 8 εἰς δουλ. ∟ C 10 ἐκείνης ∟ D 11 Ἱερ. + υἱὸς Χελκίου τοῦ ἱερέως A^1BCD Ἀνώθ D Ταφναῖς A βληθεὶς C 12 θνήσκει A^1CD 13 φαραῷ A 14 αὐτοὺς ∟ D 15 οἱ ∟ A^1 16 μενεφώθ AaB κροκοδήλους BCD οἳ] οἷον A^1 οἵων ACD 18 ἐκείνης ∟ CD τὸ γένος] τὰ γένη CD 21 δίγματα A

ρόντων τινῶν, ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου, καὶ ἐπιγνοὺς τὰ εἰς αὐτὸν μυστήρια εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα, περιστείλας αὐτὰ ἐνδόξως· καὶ ἐκωλύθη ἐκ τῆς γῆς τὸ γένος τῶν ἀσπίδων, 5 καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως τὰ θηρία.

Οὗτος ὁ προφήτης σημεῖον δέδωκε τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν τὰ χειροποίητα αὐτῶν, ὅταν ἐπιβῇ ἐν Αἰγύπτῳ παρθένος λοχεύουσα βρέφος θεοειδές. Διὸ καὶ ἕως νῦν τιμῶσι παρ-10 θένον λοχοῦν καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσι. Καὶ Πτολεμαίῳ τῷ βασιλεῖ πυνθανομένῳ τὴν αἰτίαν ἔλεγον, ὅτι· πατροπαράδοτον ἡμῖν ἐστι μυστήριον ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν, καὶ ἐκδεχόμεθα τὸ πέρας τοῦ μυστηρίου ἡμῶν.

15 Οὗτος δὲ πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ, καὶ ἐποίησεν αὐτὰ καταποθῆναι ἐν πέτρᾳ λέγων τοῖς παρεστῶσιν· ἀπεδήμησε κύριος ἐκ Σιὼν εἰς οὐρανόν, καὶ πάλιν ἐλεύσεται ἐν δυνάμει. Καὶ σημεῖον ὑμῖν ἔστω τῆς παρουσίας αὐτοῦ, ὅτε ξύλον πάντα 20 τὰ ἔθνη προσκυνήσουσι. Τὴν δὲ κιβωτὸν ταύτην οὐδεὶς ἐκβάλλει εἰ μὴ Ἀαρών· καὶ τὰς ἐν αὐτῇ πλάκας οὐδεὶς ἀναπτύσσει ἱερέων ἢ προφητῶν εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς τοῦ θεοῦ. Καὶ ἐν τῇ ἀναστάσει πρῶτον ἡ κιβωτὸς τοῦ θεοῦ ἀναστήσεται καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας, καὶ τεθή-25 σεται ἐν ὄρει Σινᾶ, καὶ τότε πάντες οἱ ἅγιοι συναχθήσονται ἐκεῖ, ἐκδεχόμενοι τὸν Χριστόν. Ἐν δὲ τῇ πέτρᾳ ἐσφράγισε

7 Isa. 19, 1 **15** 2 Macchab. 2, 4—8

2 τὸ μυστήριον CD γῆς + αὐτῆς manu recent. additum C 4 ἐκολύθη A 6 οὗτως B ἔδωκεν AA[1]D ἱερατεῦσιν A 9 διὸ ∠ E ἕως + τοῦ E 10 λεχὼ A[1] 12 πατροπαράδωτον A ἡμῶν A ἡμῖν + αὐτοῦ in margine D 15 Οὗτως B 18 Σιῶν AB 20 προσκυνήσωσιν a 22 Μωσῆς aB

τῷ δακτύλῳ αὐτοῦ τὸ ὄνομα τοῦ θεοῦ, καὶ γέγονεν ὁ τύπος
ὡς γλυφὴ σιδήρου, καὶ νεφέλη ἐσκέπασε τὸ ὄνομα, καὶ οὐ-
δεὶς νοεῖ τὸν τόπον ἕως τῆς συντελείας. Καὶ ἔστιν ἡ πέτρα
ἐν τῇ ἐρήμῳ ὅπου πρῶτον ἡ κιβωτὸς γέγονε μεταξὺ τῶν
δύο ὀρέων, ἐν οἷς κεῖται Μωϋσῆς καὶ Ἀαρών· καὶ ἐν νυκτὶ 5
νεφέλη ὡς πῦρ γίνεται κατὰ τὸν τύπον τὸν ἀρχαῖον, ὅτι οὐ
μὴ παύσηται ἡ δόξα τοῦ θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. Καὶ
ἔδωκεν ὁ θεὸς τῷ Ἱερεμίᾳ χάριν, ἵνα τὸ τέλος τοῦ μυστηρίου
αὐτοῦ αὐτὸς ποιήσῃ, ὅπως γένηται κοινωνὸς Μωϋσέως.

ιε΄. Ἰεζεκιὴλ υἱὸς Βουζῆ ἦν ἐν Σαριρᾷ, ἐκ τῶν ἱερέων· 10
καὶ ἀποκτείνας αὐτὸν ἡγούμενος τοῦ Ἰσραὴλ ἐν τῇ γῇ τῶν
Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ
εἰδώλων σεβάσμασιν· ἔθαψαν αὐτὸν ἐκεῖ ἐν ἀγρῷ Μαούρ,
ἐν τῷ τάφῳ Σὴμ καὶ Ἀρφαξάθ, πολλὰ προφητεύσαντα τοῖς
ἐν τῇ Ἰουδαίᾳ. Καὶ ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι 15
καὶ ὁ Ἀβραὰμ εἰς Χεβρὼν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησε
τὸν τάφον Σάῤῥας. Διπλοῦν δὲ λέγεται, ὅτι εἱλικιῶδές
ἐστιν καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ὑπερῷον.

Ἔδωκε δὲ τέρας τῷ λαῷ ὥστε προσέχειν τῇ ποταμῷ
Χοβάρ, καὶ ὅτε ἐκλείποι, ἐλπίζειν τὸ δρέπανον τῆς ἐρημώ- 20
σεως εἰς πέρας τῆς γῆς, καὶ ὅτε πλημμυρήσοι, τὴν Ἱερου-
σαλὴμ ἐπάνοδον. Καὶ γὰρ ἐκεῖ κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ
πρὸς αὐτὸν συνήρχοντο, ὥστε φοβεῖσθαι τοὺς Χαλδαίους μὴ
ἀντάρωσι. Διὸ καὶ ἐπῆλθεν αὐτοῖς εἰς ἀναίρεσιν· καὶ ἐποίησε
στῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν· καὶ οἱ τολ- 25

5 2 Macchab. 2, 8 **10** Ezech. 1, 3 **16** Genes. 23, 2. 9. 19
20 Ezech. 1, 3; 36, 8; 47, 1

3 καὶ ἔστιν A[1] 5 Μωσῆς aB 9 ποιήσει C Μωυσεῶς D
10 Σαριρά A 13 Μα|| A[1] προφητεύσας A[1] 17 ἑλικο-
ειδὲς A[1]CD 20 καὶ ∠ D 21 πλημμυρήσει A[1]CD τὴν + τῆς
CD 22 κατέκειτο E 24 ἀν||ρωσιν A[1] ἐπῆλθον AB ἀπῆλθεν C

μήσαντες τῶν ἐχθρῶν ἐπιδιῶξαι κατεποντίσθησαν. Οὗτος
διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν ἰχθύων
παρέσχετο, καὶ πολλοῖς ἐκλιποῦσι ζωὴν ἐχαρίσατο. Οὗτος
ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν προσῆλθε τοῖς
5 ἡγουμένοις, καὶ διὰ τεραστίων φοβηθέντες ἐπαύσαντο. Τότε
ἔλεγεν αὐτοῖς ὅτι· διαπεφωνήκαμεν· ἀπώλετο ἡ ἐλπὶς ἡμῶν,
καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν, ὅτι
ἔσται ἐλπὶς τῷ Ἰσραήλ, καὶ ἐνταῦθα καὶ ἐπὶ τοῦ μέλλοντος.
Οὗτος ἐκεῖ ὢν ἐδείκνυε τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλὴμ
10 καὶ ἐν τῷ ναῷ γινόμενα. Οὗτος ἡρπάγη ἐκεῖθεν εἰς Ἱερου-
σαλὴμ εἰς ἔλεγχον τῶν ἀπίστων. Οὗτος κατὰ τὸν Μωϋσῆν
εἶδε τὸν τύπον τοῦ ναοῦ, οὗ τὸ τεῖχος καὶ τὸ περίτειχος
πλατύ, καθὼς εἶπε Δανιήλ, ὅτι κτισθήσεται. Οὗτος ἔκρινεν
ἐν Βαβυλῶνι τὴν φυλὴν τοῦ Γάδ, ὅτι ἠσέβουν εἰς κύριον
15 διώκοντες τοὺς τὸν νόμον φυλάσσοντας, καὶ ἐποίησεν τοὺς
ὄφεις ἀναλίσκειν τὰ βρέφη καὶ πάντα τὰ κτήνη αὐτῶν
λέγων, ὅτι· δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν
αὐτοῦ. Ἐξ ὧν καὶ ἀνῃρέθη.

ις'. Δανιὴλ ἦν ἐκ Βεθόρων τῆς ἀνωτέρας φυλῆς Ἰούδα·
20 γένους τῶν ἐξοχωτάτων τῆς βασιλικῆς ὑπηρεσίας, καὶ ἔτι
νήπιος ὢν ἀπῆλθεν εἰς γῆν Χαλδαίων. Ἦν δὲ ἀνὴρ σώ-
φρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα.
Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τὴν πόλιν καὶ ἐν νηστείᾳ ἤσκησεν

2 cf. Ezech. 47, 9 **6** ibid. 37, 11 **11** ibid. c. 8, 3 **12** Exod. 25, 9; Daniel 9, 25; Ezech. c. 40; 43, 2; 44, 2; 46, 1. 2. 8. 14 **20** Daniel 1, 3 cf. 4 Reg. 20, 18; Is. 39, 7 **23** Dan. 1, 8. 13

1 *ἐπιδιώξαι* A^1 2 *δαψιλὴ* A^1 3 *ἐκλείπουσιν* AA^1CD *κεχαρήσατο* A 6 *ὅτι* ∠ A^1 *διαπεφρονήκαμεν* CD *διαπεφονήκαμεν* A^1 *ἀπόλωλεν* A^1 7 *νεκρῶν* + *αὐτῶν* D *ἔπεισαν* A^1 *τῷ*] *τοῦ* AA^1CD 9 *οὗτως* A *λαῷ* ∠ A^1 12 *ἴδεν* A *τὸ* CD *οὗ τὸ*] *οὗτος* A^1 *τὸ* ∠ A^1 18 *αὐτῶν* A^1 19 *ἐκ*] *ἐν* a 20 *τῇ ἀνωτέρᾳ* A *ἐξοχοτάτον* E 21 *εἰς* + *τὴν* A^1 23 *νηστείαις* AA^1E

ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς. Καὶ ὑπὲρ τοῦ Ναβουχοδονόσορ
πολλὰ ηὔξατο· παρακαλοῦντος αὐτὸν Βαλτάσαρ τοῦ υἱοῦ αὐτοῦ
ὅτε γέγονεν θηρίον καὶ κτῆνος, ἵνα μὴ ἀπώληται. Ἦν γὰρ τὰ
ἐμπρόσθια αὐτοῦ ὡς βοῦς σὺν τῇ κεφαλῇ, καὶ οἱ πόδες σὺν
τοῖς ὀπισθίοις ὡς λέων. Ἀπεκαλύφθη δὲ τῷ ἁγίῳ περὶ τοῦ 5
μυστηρίου τούτου, ὅτι θηρίον μὲν γέγονε διὰ τὸ φιλήδονον
αὐτοῦ καὶ σκληροτράχηλον, κτῆνος δὲ ὅτι ὑπὸ ζυγὸν ἦν
τοῦ Βελίαρ καὶ ὑπήκοος· καὶ ὡς μὲν βοῦς ἤσθιε χόρτον·
ἐγίνετο δὲ αὐτῷ ἀνθρωπίνης φύσεως τροφή. Ἐκρατήθη δὲ
ἡ γλῶσσα αὐτοῦ τοῦ μὴ λαλεῖν· καὶ νοῶν εὐθέως ἐδάκρυε, 10
καὶ παρεκάλει τὸν θεὸν κατὰ νοῦν πᾶσαν ἡμέραν καὶ
ὥραν· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ γεγόνασι κρεώδεις ἐκ πολλῶν
δακρύων. Καὶ πολλοὶ τῆς πόλεως ἑώρων αὐτὸν καὶ ἐθαύ-
μαζον. Ὁ δὲ Δανιὴλ μόνος οὐκ ἠθέλησεν ἰδεῖν αὐτόν.
Ἀλλὰ πάντα τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ ἐν προσευχῇ 15
ἦν περὶ αὐτοῦ, δεόμενος τοῦ θεοῦ. Ἔλεγε γάρ· ὅτι πάλιν
ἄνθρωπος γενήσεται καὶ ἠπίστουν αὐτῷ. Ὁ δὲ Δανιὴλ τὰ
ἑπτὰ ἔτη ἃ εἶπεν ἑπτὰ καιροὺς ἐποίησε γενέσθαι ἑπτὰ μῆνας
καὶ τὸ μυστήριον τῶν ζ' καιρῶν ἐτελειώθη ἐπ' αὐτὸν μετὰ
τὴν ἄφεσιν τῆς ἀνομίας αὐτοῦ. Καὶ ἀπέδωκεν πάλιν αὐτῷ 20
ὁ θεὸς τὴν βασιλείαν αὐτοῦ, οὔτε δὲ ἄρτον ἢ κρέας ἔφαγεν,
οὔτε οἶνον ἔπιεν ἐξομολογούμενος τῷ θεῷ, ὅτι Δανιὴλ αὐτῷ
προσέταξεν ὀσπρέοις βρεκτοῖς καὶ χλόαις ἐξιλεώσασθαι τὸν

9 Dan. 4, 23. 30 **20** ibid. 4, 29. 30 **21** ibid. 4, 33

1 ἐπιθυμητής a 2 Βαλτ. + ὑπὲρ E 3 ὅτε] ὅτι E ἀπώ-
λειται A 7 σκληροτράχειλον a ὑποζυγὸν CD ὑποζύγιον B
8 τοῦ] τῷ E ἴσθιεν A 9 τρυφῆ aC 10 ἐδάκρυσεν ABE
11 παρακαλεῖ E 12 αὐτοῦ] αὐτῶν E κρεῶδεις a ἐκ + τῶν A[1]
13 πόλεως + ἐξιόντες A[1] 14 μόνος ∠ D 15 τὸν ∠ A ἀλώ-
σεως A[1] 18 ἑπτὰ] ζ' A μήνας A[1] 19 τὸ μυστήριον] τῶν
μυστηρίων E ἐτελειώθησαν D 20 καὶ ∠ A[1]B ἀπέδωκεν —
21 αὐτοῦ ∠ E αὐτοῦ + καὶ A[1] δὲ ∠ A[1] ἢ] οὔτε E 22 ἔποιεν A[1]
23 προσέταξεν + ἐν A[1] ἐξιλεῶσαι E

θεόν· διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Βαλτάσαρ, ὅτι ἠθέλησεν αὐτὸν συγκληρονόμον καταστῆσαι τῶν τέκνων αὐτοῦ· ἀλλ' εἶπεν ὁ ὅσιος· ἵλεώς μοι ἀφεῖναι κληρονομίαν πατέρων μου, καὶ κολληθῆναι κληρονομίᾳ ἀπεριτμήτων. Καὶ τοῖς μετέπειτα δὲ
5 *βασιλεῦσι Περσῶν πολλὰ ἐποίησε τεράστια, ὅσα οὐκ ἔγραψα· δεύτερον δὲ ἐβλήθησαν τῷ λάκκῳ τῶν λεόντων ὑπὲρ εὐσεβείας καὶ ἀγάπης θεοῦ. Τὸ μὲν γὰρ πρῶτον, ἐπειδὴ τῶν Βαβυλωνίων προσευχομένων Δαρείῳ τῷ βασιλεῖ μόνος αὐτὸς τῷ θεῷ προσηύχετο. Τὸ δὲ δεύτερον, διότι τὸν Βῆλ κατέ-*
10 *στρεψε καὶ τὸν δράκοντα ἐφόνευσεν ἐπὶ Κύρου τοῦ βασιλέως, καὶ αὐτὸς μὲν διεσώθη, καὶ ἀβλαβὴς ἀπὸ τῶν λεόντων ἀνῆλθεν ἐκ τοῦ λάκκου. Οἱ δὲ ἐπιβουλεύσαντες αὐτῷ ἐβλήθησαν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ εὐθὺς κατεβρώθησαν ὑπ' αὐτῶν· μετὰ δὲ ταῦτα γηράσας καὶ τελευτήσας ἐν εἰρήνῃ,*
15 *ἐτάφη ἐκεῖ ἐν τῷ σπηλαίῳ τῷ βασιλικῷ μόνος ἐνδόξως. Ἔδωκε δὲ τέρας ἐν ὄρεσι τοῖς ὑπεράνω τῆς Βαβυλῶνος λέγων· ὅτε καπνισθήσεται τὰ ἐκ βοῤῥᾶ, ἥξει τὸ τέλος Βαβυλῶνος, ὅτε δὲ ὡς πυρὶ καίεται, τὸ τέλος πάσης τῆς γῆς. Ἐὰν δὲ τὰ ἐν τῷ νότῳ ὄρη ῥεύσωσιν ὕδατα, ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτῶν· καὶ*
20 *ἐὰν αἷμα ῥεύσωσιν, φόνος ἔσται τοῦ Βελίαρ ἐν πάσῃ τῇ γῇ.*

α'. Ἠλίας ὁ Θεσβίτης ἦν ἐκ γῆς Ἀράβων φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ, ὅτι ἡ Θεσβὶς δῶμα ἦν τοῖς ἱερεῦσιν. Ὅτε δὲ ἔμελλε τίκτεσθαι, εἶδε Σοβαχὰ ἡ μήτηρ αὐτοῦ, ὅτι ἄνδρες λευκοφανεῖς αὐτὸν προσηγόρευον, καὶ ἐν πυρὶ αὐτὸν

1 Dan. 1, 7; 4, 5 ss **6** ibid. 13 **16** cf. Ezech. 47, 1 ss **21** 3 Reg. 17, 1

1 *ἐκάλεσαν* ABCD *αὐτὴν* A[1] 3 *ἵλεος* AA[1] *ἀφῆναι* A 4 *κληρονομίαις* AA[1]aB *μετ' ἔπειτα* E 5 *τεράτια* A[1] *τεράστεια* A 6 *ἐβλήθη* AA[1]E + *ἐν* A[1]E 8 *βαβασιλεῖ* (!) A 9 *τῷ* ∟ AA[1] *Βὴλ* A 12 *ἐκ*] *ἀπὸ* A[1] 16 *ἐνόρεσιν* A *τοῖς*] *τῆς* A[1] 17 *τὰ* ∟ A[1] *ἐκ βόῤῥια* A[1] *ὄρει* A 19 *ὕδατα*] *ὕδατι* E 19 *γῆν*] *χώραν* C *καὶ* ∟ B *ἐὰν* + *δὲ* B *φώνος* (!) B *πᾶσι* (!) C 21 *α'* ∟ A *α'*] *περὶ Ἠλίου* B *Ἠλίας* + *δὲ* B in marg. *Ὁ Ἠλίας α'* A *ἀῤῥάβων* A[1] 22 *δόμα* AA[1] 23 *δὲ* ∟ E *Σοβοχᾶ* AA[1]

ἐσπαργάνουν, καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν, καὶ ἐλθὼν ὁ πατὴρ αὐτοῦ Ἀσὼμ ἀνήγγειλεν ἐν Ἱερουσαλὴμ καὶ εἶπεν αὐτῷ ὁ χρησμός· θάρσει· ἔσται γὰρ ἡ οἴκησις αὐτοῦ φῶς καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί. Καὶ γὰρ ζηλωτὴς καὶ φύλαξ τῶν 5 τοῦ θεοῦ ἐντολῶν ἀκριβὴς γεγονὼς καὶ μεγίστων μυστηρίων καὶ χαρισμάτων θείων ἀξιωθεὶς ἀνελήφθη ἐν ἅρματι πυρίνῳ, ὃς πάλιν ἐλεύσεται πρὸ τῆς συντελείας, ὥς φησιν ὁ θεὸς διὰ Μαλαχίου· ἰδοὺ ἐξαποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, 10 ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ· μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην.

β΄. Ὁ δὲ τούτου φοιτητὴς Ἐλισσαῖος ἦν ἐξ Ἀβελμουήλ· γῆς τοῦ Ῥουβὶμ φυλῆς Λευῒ· υἱὸς Ἰωσαφάτ· καὶ οὗτος δὲ 15 ἡνίκα ἐτέχθη ἐν Γαλγάλοις ἡ χρυσῆ δάμαλις ὀξὺν ἐβόησεν, ὥστε ἀκουσθῆναι ἐν Ἱερουσαλήμ, καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν δήλων, ὅτι προφήτης ἐτέχθη ἐν Ἱερουσαλήμ, ὃς καθελεῖ τὰ γλυπτὰ αὐτῶν καὶ τὰ χωνευτά. Καὶ γὰρ ἐπαναπαυσάμενον ἐπ᾽ αὐτὸν τὸ πνεῦμα διπλοῦν γέγονεν ἐν αὐτῷ διπλᾶ ἐν 20 πνεύματι καὶ τὰ χαρίσματα καὶ τὰ ἐνεργήματα· ὅθεν οὐ μόνον ἐν τῇ ζωῇ αὐτοῦ ἐθαυματούργει, ἀλλὰ καὶ θανὼν καὶ ταφεὶς ἐν Σαμαρείᾳ, ἐῤῥίφη νεκρὸς μονόζωος ἐν τῷ τάφῳ αὐτοῦ. Καὶ εὐθὺς ἀνέζησεν ὁ νεκρός.

7 4 Reg. 2, 11; 1 Macchab. 2, 58 9 Malach. 4, 5. 6 14 3 Reg. 19, 16 19 Isa. 48, 5 23 4 Reg. 13, 21

3 θάῤῥει A 6 γεγονῶς A 7 χρισμάτων E ἀνελίφθη C 8 πάλιν rasura in A 9 ἰδοῦ A 10 ἐπιφανὴ AA[1] 12 αὐτοῦ hic finis est codicis B 14 Ἐλισσαῖος B in marg. A φυτητής A Ἀβελμαοὺθ E 15 ῥουβίν A Ἰωσ.] σαφάθ A[1] 16 ὀξὺ BD ἐξεβόησε A[1] 18 ὃς] ὡς A κατελεῖ D 19 χονευτά A 20 πνεῦμα + Ἠλίου A[1] ἐν ∠ A[1] διπλᾶ E 22 καὶ ταφεὶς] ἐτάφη E ταφὴς A 23 ἐῤῥίφει A[1] ἐῤῥίφην CD Σαμαρίᾳ D νεκρὸς + καὶ E νεκρός. + Δόξα τῷ ἁγίῳ θεῷ τῷ δῶντι (!) ἀρχὴν καὶ τέλος A[1]

D.

DE PROPHETARUM VITA ET OBITU, LIBER AB ANONYMO QUODAM CONSCRIPTUS.

A = Vatic. 2125 saec. VII—VIII pag. 11—24.
5 a = editio Eb. Nestle sec. istum codicem ms.
B = Coisl. 205 saec. XI fol. 250.
B¹ = Philadelph. 1141 saec. ignoti fol. 109.
C = Vatic. 1974 saec. XII fol. 100.
D = Coisl. 224 saec. XI fol. 18.
10 D¹ = Ambros. 445 (H 104 sup.) anni 1434 copia cod. D.
d = editio Tischendorf 1855 (iterata 1861) sec. Coisl. 224.
E = Paris. 1712 saec. XIV fol. 65.
e = lectiones ex hoc codice communicatae a Ducange (Migne Patr. gr. 92, 362).
15 F = Fragmenta Leyd. Voss. 46 saec. X communicata per H. A. Hamaker.

ΟΝΟΜΑΤΑ ΠΡΟΦΗΤΩΝ ΚΑΙ ΠΟΘΕΝ ΕΙΣΙ ΚΑΙ ΠΟΥ ΑΠΕΘΑΝΟΝ ΚΑΙ ΠΩΣ ΚΑΙ ΠΟΥ ΚΕΙΝΤΑΙ.

α'. Ἡσαΐας ἀπὸ Ἱερουσαλὴμ θνήσκει ὑπὸ Μανασσῆ
20 *πρισθεὶς εἰς δύο καὶ ἐτέθη ὑποκάτω δρυὸς Ῥωγὴλ ἐχόμενα*

19 ascens. Isaiae (sec. textum aethiop.) c. 5. Alia testimonia apud patres vide Emil Schürer, Geschichte des jüd. Volkes III³, 283

17 *Ὀνόματα* + *τῶν* B 18 *ποῦ*] *ὅπως* B *καὶ πῶς* ∠ B 1—2] *Τὰ ὀνόματα τῶν ἁγίων προφητῶν καὶ ποίας χώρας εἰσὶν ἕκαστος καὶ πῶς ἀπέθανον καὶ ποῦ κεῖνται ἐν σώμασιν* C *Τὰ τῶν προφητῶν ὀνόματα, καὶ πόθεν ἦσαν καὶ ποῦ κεῖνται.* B¹ *Ἐνταῦθα ἀναγράφονται τὰ ὀνόματα καὶ αἱ προσηγορίαι τῶν ἁγίων καὶ ἐνδόξων προφητῶν καὶ ὁποίας χώρας ἕκαστος αὐτῶν ὑπάρχει, καὶ ὅπου ἐτελειώθη καὶ ἔνθα κατετέθη τὰ τίμια αὐτῶν λείψανα* DD¹d *Ἀναγκαῖον δὲ προσθῆναι τούτοις καὶ τὰ τῶν προφητῶν ὀνόματα πόθεν δὲ ὑπῆρχον καὶ πῶς ἕκαστος τούτων προεφήτευσε καὶ ὅπως ἐτελειώθη* E 19 *Ἡσαΐας ἑρμηνεύεται ἆσμα (κίασμα?)* in marg. E *Ἡσαίας* + *ὁ προφήτης ἦν* B¹ + *ὁ μέγας προφήτης*

τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν Ἐζεκίας χώσας
αὐτά. Καὶ ὁ θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ διὰ τὸν προ-
φήτην ἐποίησεν, ὅτι πρὸ τοῦ θανεῖν ὀλιγωρήσας ηὔξατο
πιεῖν ὕδωρ καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ· διὰ τοῦτο
ἐκλήθη Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. Καὶ ἐπὶ τοῦ 5
Ἐζεκία πρὸ τοῦ ποιῆσαι τοὺς λάκκους καὶ τὰς κολυμβήθρας,
ἐπὶ εὐχῇ τοῦ Ἡσαΐου μικρὸν ὕδωρ ἐξελήλυθεν, ὅτι ἦν ὁ λαὸς
ἐν συγκλεισμῷ ἀλλοφύλων καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις
ὡς ⟨μὴ⟩ ἔχουσα ὕδωρ. Ἠρώτων γὰρ οἱ πολέμιοι πόθεν
πίνουσιν; καὶ ἔχοντες τὴν πόλιν παρεκαθέζοντο τῷ Σιλωάμ. 10
Ἐὰν οὖν οἱ Ἰουδαῖοι ἤρχοντο, ἐξήρχετο ὕδωρ· ἐὰν δὲ ἀλ-
λόφυλοι, οὔ. Διὸ ἕως σήμερον αἰφνιδίως ἐξέρχεται, ἵνα

1 2 Chron. 32, 3; Sir. 48, 17 **5** Ioa. 9, 7 **6** cf. Isa. 22. 9—11

ἦν CDd + πρῶτος, οὗτος γὰρ E + ἦν B Ἱερ.] Ἰσραήλ B^1 Ἱερ. + γέγονε E θνήσκει + δὲ B^1 + δὲ πρισθεὶς CDd (πρισθεῖς (sic) C) + βιαιότατον θάνατον E ὑπὸ + γὰρ E Μανασῆ Dd Μαν. + εἰς δύο μέρη πρισθεὶς ἐτελειώθη E πρισθεὶς] βασιλέως υἱοῦ Ἐζεκίου CDd πρισθεὶς — δύο ∟ E ἐτέθη] τίθεται E ῥαγήλ C ῥω-γῆν B ῥογήλ E 1 Ἐζεκίας + ὁ βασιλεὺς B^{1}CDd χόσας C καταχώσας Dd 2 Σιλωὰμ + ἐποίησε Dd τοῦ προφήτου E ἐποίησεν ∟ Dd 3 ἀποθανεῖν CDd ὀλιγορήσας E 4 ἐξ αὐτοῦ ∟ E αὐτοῦ] αὐτῶν B^1 5 ἐπεκλήθη E Σιλωὰμ] Σολομὼν corr. manu recent. σιλοὰμ E τοῦ] τῷ BB^1 6 πρὸ ∟ E ποιῆσαι + αὐτὸν d τοὺς] αὐτοὺς CE 7 ἐπὶ + τῇ Dd εὐχῆς E ἐξελήλυθαι E λαὸς] πόλις CDd ἀλ-λοφύλου E 8 διαφθαρεῖ B^1 πόλυς corr. E 9 μὴ ∟ Aa ἠρώτη-σαν Ee 10 πίννουσιν Aa πίνωσιν B^1 πίνουσιν + διὸ καὶ ἐχαρά-κωσαν ∟ καὶ ἔχοντες B^{1}CDd πόλιν + καὶ CDd περιεκαθέζοντο e τῷ] τοῦ B^1 Σιλώαν e 11 οὖν] μὲν Ee οἱ Ἰουδαῖοι] Ἰούδας Ee ἐὰν — ἤρχοντο] ὅταν οὖν ἤρχοντο σὺν τῷ Ἡσαΐᾳ οἱ Ἰουδαῖοι, ἄφνω CDd ἤρχοντο] ἦλθον B ἦλθεν E οἱ — ἤρχοντο] ἤρχετο Ἡσαΐας ἄφνω B^1 ἤρχοντο + ἄφνω B ἐξήρχετο + καὶ B^1 + τὸ B^{1}CDdE ὕδωρ. + καὶ Ee ἐὰν] ὅταν C ἐπὰν Dd ἀλλόφυλοι + ἤρχοντο CDd + ἦλθον B^1 ἐὰν — οὐ] εἰ δὲ ἀλλόφυλος, οὐδαμῶς Ee 12 οὐ] οὐκ ἐξήρχετο τὸ ὕδωρ B^{1}CDd διὸ + καὶ CDd ἐξέρχονται Ee ἐξέρχεται + κατὰ τὴν ὥραν ἣν ἤρχετο Ἡσαΐας τότε σὺν τοῖς Ἰουδαίοις BB^{1}CDd

δειχθῇ τὸ μυστήριον. Καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονε, μνήμης χάριν καὶ ὁ λαὸς πλησίον αὐτὸν ἐπιμελῶς ἔθαψε καὶ ἐνδόξως, ἵνα δι' εὐχῶν αὐτοῦ καὶ μετὰ θάνατον αὐτοῦ ὡσαύτως ἔχωσι τὴν ἀπόλαυσιν τοῦ ὕδατος, ὅτι καὶ
5 *χρησμὸς ἐδόθη αὐτοῖς περὶ αὐτοῦ.*

Ἔστι δὲ ὁ τάφος ἐχόμενα τοῦ τάφου τῶν βασιλέων ὄπισθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομὼν γὰρ ἐποίησε τοὺς τάφους τοῦ Δαυὶδ διαγράψαντος κατ' ἀνατολὰς τῆς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαὼν
10 *μήκοθεν τῆς πόλεως σταδίους εἴκοσι. Καὶ ἐποίησε σκολιάν, σύνθεσιν ἀνυπονόητον· καὶ ἔστιν ἕως τῆς σήμερον τοῖς πολλοῖς ἀγνοουμένη, ὅλου δὲ τοῦ λαοῦ. Ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα. Καὶ ἐπειδὴ ὁ Ἐζεκίας ἔδειξε τοῖς ἔθνεσι τὸ μυστήριον Δαυὶδ καὶ Σο-*
15 *λομῶντος καὶ ἐμίανεν ὀστᾶ τόπου πατέρων αὐτοῦ, διὰ τοῦτο ὁ θεὸς ἐπηράσατο εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ τοῖς*

13 4 Reg. 20, 13 s; 2 Chron. 32, 27

1 *καὶ* ∠ E *ἐπὶ δὲ* (sic) E *τοῦτο* ∠ E 2 *καὶ — ἐπιμελῶς*] *διὸ καὶ πλησίον αὐτοῦ, τοῦτον* Ee *μνήμης* + *αὐτοῦ* CDd *αὐτὸν* + *τοῦ Σιλωάμ* B^1 *αὐτὸν*] *τοῦ Σιλωάμ* Dd 3 *ἔθαψαν* BE *ἔθαψεν* + *αὐτὸν* CDd *καὶ* ∠ BB^{1}E *ἵν'* Aa *ἵνα*] *ὅπως* BB^{1}Dd *διὰ* + *τῶν* B^{1}CDdE *αὐτοῦ*] *τούτου* E 4 *ὡσαύτως ἔχ.*] *ἔχωσιν ὡς αὐτός* Dd 5 *αὐτοῖς*] *αὐτῷ* E *αὐτοῦ*] *τοῦ ὕδατος* CDd 6 *τάφος* + *αὐτοῦ* Dd *τοῦ* ∠ E *ἐχόμενα* + *τῆς ὁδοῦ τοῦ* BB^1 8 *Σολομῶν* B^{1}CDdE *γὰρ*] *δὲ* E *ἐποίησεν* B *τοῦ*] *τῷ* E *διαγράψας* E 9 *τῆς* ∠ Dd *Σιῶν* B^1 *τὴν* B *ἀπὸ*] *κατὰ* E *Γαβαῶν* B^1 10 *εἴκοσι*] *κ'* Dd *στάδια* BB^1 11 *σύνθετιν* (sic) B *σύνθετον τὴν εἴσοδον καὶ* Dd *συνοδα* (!) *ἀνυπονόητα* E *ἀνυπονόητον* + *τοῖς πολλοῖς* CDd *ἐστὶν* E *τῆς* ∠ E 12 *ἀγνοούμενον* B^1 *ἀγνοουμέν.* + *τῶν ἱερέων* B^{1}CDdE *καὶ ὅλου τοῦ λαοῦ* B^1 *καὶ ὅλῳ τῷ λαῷ* Dd *δὲ* ∠ BDd *ὁ* E 13 *ἐπεὶ* Ee 14 *Ἰεζεκίας* E *Ἐζεκίας* + *ὁ βασιλεὺς* CDd *Ἐζ.*] *ὁ βασιλεὺς* B *τοῖς ἔθνεσι* ∠ B^{1}CDd *Σαλωμῶνος* A *Σολομῶνος* B^1 *Σολ.* + *τοῖς ἔθνεσι τοῖς Βαβυλωνίοις* B^{1}CDd 16 *ἐπειράσατο* B *ἐπηράσατο*] *συνεχώρησεν* Dd *τοῖς* — p. 71, 1 *αὐτοῦ* Ee

ἐχθροῖς αὐτοῦ, καὶ ἄκαρπον αὐτὸν ἐποίησεν ὁ θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης.

β'. Ἱερεμίας ἦν ἐξ Ἀναθὼθ καὶ ἐν Τάφναις Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει. Κεῖται δὲ ἐν τῷ τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν 5 αὐτὸν εὐεργετηθέντες δι' αὐτοῦ. Ηὔξατο γὰρ καὶ αἱ ἀσπίδες αὐτοὺς ἔασαν καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσιν οἱ Αἰγύπτιοι μὲν νεφώθ, Ἕλληνες δὲ κροκοδείλους. Καὶ ὅσοι εἰσὶ πιστοὶ θεοῦ, ἕως σήμερον εὔχονται ἐν τῷ τόπῳ καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀσπίδων θε- 10 ραπεύουσι. [Καὶ πολλοὶ αὐτὰ τὰ θηρία καὶ τὰ τοῦ ὕδατος φυγαδεύουσιν.] Ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου γερόντων ἀνδρῶν, ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν ἐπιστὰς τῷ τόπῳ τοῦ προφήτου καὶ ἐπιγνοὺς αὐτοῦ μυστήρια εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λεί- 15 ψανα, περιθεὶς αὐτὰ ἐνδόξως κύκλῳ· καὶ ἐκωλύθη ἐκ τῆς γῆς τὸ γένος τῶν ἀσπίδων καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως

1 4 Reg. 20, 18 **3** Ierem. 1, 1; 43, 8 **4** cf. Hebr. 11, 37; Ierem. 43, 9

1 αὐτὸ E ὁ θεὸς ἐποίησεν Dd ὁ θεὸς ⌊ Ee 2 ἡμέρας] ὥρας Ee ἐκείνης + ἐπέκεινα BB¹ 3 Ἱερεμ. + οὗτος ἦν Ee Τάφναις + τοῖς (sic) B¹ Αἰγυπτίων E 4 ἐν — 5 οἰκήσεως] πλησίον τῆς οἰκίας e τῷ ⌊ B¹Dd οἰκήσεως] κήσεως (sic) B¹ Φαραῷ B¹ οἱ ⌊ CDdE ἐδόξασαν ⌊ E 6 εὐεργετηθέντες + ὑπὸ τοῦ θεοῦ D ηὔξαντο manu recent. corr. E γὰρ ⌊ B¹ ἀσπίδες — ἔασαν] αἱ ὀλοθρεύουσαι αὐτοὺς ἀσπίδες ἀπέθανον B¹CDd οἱ ὀλοθρεύονται αὐτοὺς ὄφεις (sic) καὶ ἀσπίδες ἀπέθανον E 7 οἱ] αἱ B οἱ μὲν B¹Dd μὲν ⌊ B¹Dd 8 ἐφώθ B μενεφὼτ e κροκοδήλους Ee κροκοδίλους A 9 ὅσοι + δὲ E πιστοὶ + τοῦ E θεῷ B¹ τόπῳ] τάφῳ e ποταμῷ E τόπῳ + ἐκείνῳ B¹Dd 10 λαμβάνονται E 11 καὶ — 12 φυγαδεύουσιν ⌊ BB¹CDdE 13 καὶ] τοῦ E γεγηρακότων CDd Ἀλέξανδρος ⌊ B 14 ὁ Μακεδὼν — μετέστησεν ⌊ E τῷ τόπῳ] τοῦ τόπου B¹ αὐτοῦ ⌊ Ee αὐτοῦ τὰ] τὰ εἰς αὐτὸν B¹ 15 μετεστήσατο E αὐτοῦ — λείψανα] τὸ λείψανον E 16 αὐτὰ ⌊ CE κυκλῶν E ἐκωλύθη] ἐξωλοθρεύθη BB¹ ἐξωλοθρεύθησαν CDd ὀλοθρεύθη E 17 γῆς ἐκείνης BCDd

τοὺς κροκοδείλους, καὶ οὕτως ἐνέβαλε τοὺς ὄφεις τοὺς λεγομένους ἀργόλας, ὅ ἐστιν ὀφιομάχους, οὓς ἤνεγκεν ἐκ τοῦ Ἄργους τῆς Πελοποννήσου, ὅθεν καὶ ἀργόλαι καλοῦνται, τοῦτ' ἔστιν Ἄργους δεξιοί· λαιὰν γὰρ λέγουσι πᾶν εὐώνυμον.

5 Οὗτος ὁ Ἱερεμίας σημεῖον δέδωκε τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν ⟨διὰ σωτῆρος ἐκ παρθένου γενομένου ἐν φάτνῃ⟩. Δι' ὃ καὶ ἕως νῦν τιμῶσι παρθένον λοχὸν καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσι, καὶ Πτολεμαίῳ τῷ βασιλεῖ τὴν αἰτίαν πυνθανο-10 μένῳ ἔλεγον, ὅτι πατροπαράδοτόν ἐστι μυστήριον ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν, καὶ ἐκδεχόμεθα τὸ πέρας, φησίν, τοῦ μυστηρίου αὐτοῦ.

Οὗτος ὁ προφήτης πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπαξε τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῷ καὶ ἐποίησεν αὐτὰ 15 καταποθῆναι ἐν πέτρᾳ καὶ εἶπε τοῖς παρεστῶσιν· ἀπεδήμησε κύριος ἐκ Σιὼν εἰς οὐρανὸν καὶ πάλιν ἐλεύσεται ἐν δυνάμει.

6 cf. Isa. 19, 1 **12** 2 Macchab. 2, 4—8

1 τοὺς κροκοδίλους ∟ B^1 καὶ οὕτως] οὗτος E οὕτως] τότε Dd ὅταν ἔβαλον BB^1 ὄφεις] σοφοὺς manu recent. corr. E 2 ἀργόλας E ἀργολαίους CDd ἀργολάους B ἀφιόμαχον εἰς τὴν γῆν Αἰγύπτου E ἤνεγκαν Dd τῆς Πελοπ.] τοῦ Πελασγικοῦ DdE Πελοποννισιακοῦ BB^1 3 ἀργολαῖοι CDd ἀργόλαοι BB^1 τουτέστιν BCDdE 4 δεξιοῦ BB^1 δεξιοὶ] ἀριστεροὶ CDd λεὰν BB^1 λαιὸν CDdE λέγουσι ∟ E πᾶν + τὸ Ee πᾶν] τὴν BB^1 εὐωνύμου (sic) Ee εὐώνυμον + τότε (τὸ δὲ B^{1}Ee) ἄργος (ὄργος E) ἐστὶν (+ ὄρος B^{1}E) ἀνατολικόν BB^{1}Ee 5 ἔδωκε BB^{1}E 6 πεσεῖν BB^{1}CDd πεσόντα συντριβῆναι E διὰ σωτῆρος + θεοῦ BB^1 διὰ — 7 φάτνῃ ∟ Aa γεννωμένου B^1 + διὸ E δι' ὃ καὶ] καὶ διὰ τοῦτο CDd δι' ὃ ∟ BB^1 ἕως + τοῦ E 8 τιμῶσι] θεοποιοῦσι Dd λόχον E 9 καὶ ∟ E Πτολεμαίῳ + δὲ DdE Πτολεμαίῳ rasur. in B 10 ἔλεγον + οἱ ἱερεῖς Αἰγύπτου E ἐστι + τὸ Dd ὑπὸ + τοῦ B^1 12 φησίν ∟ E αὐτοῦ ∟ E 13 πρὸ] ἐπὶ E τῆς + πρώτης E ναοῦ] λαοῦ B^1 ἥρπασε BB^{1}C 14 αὐτῷ] αὐτῇ B^{1}E ἐν + τῇ D 15 παρεστῶσιν + αὐτῷ E 16 ἐκ] ἐν B^1 Σιὼν] Σινᾶ D σινὰ B^1 οὐρανοὺς BB^1 ἐλεύσεται + νομοθέτης E νομοθετῆσαι BB^{1}Dd νομοθετῆσαι + ἐκ Σινᾶ Dd ἐκ Σιὼν E δυνάμει + τῆς γῆς χάριτος E

Καὶ σημεῖον ὑμῖν ἔσται τῆς παρουσίας αὐτοῦ, ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνοῦσιν. Εἶπε δὲ ὅτι τὴν κιβωτὸν ταύτην οὐδεὶς ἐκβάλλει, εἰ μὴ Ἀαρών. καὶ τὰς ἐν αὐτῷ πλάκας οὐδεὶς ἀναπτύξει οὐκέτι ἱερέων ἢ προφητῶν, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς τοῦ θεοῦ, καὶ ἐν τῇ ἀναστάσει πρώτη 5
ἡ κιβωτὸς ἀναστήσεται καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας καὶ τεθήσεται ἐν ὄρει Σινᾶ καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὸν συναχθήσονται ἐκεῖ ἐκδεχόμενοι κύριον καὶ τὸν ἐχθρὸν φεύγοντες ἀνελεῖν αὐτοὺς θέλοντα. Ἐν τῇ πέτρᾳ ἐσφράγισε τῷ δακτύλῳ τὸ ὄνομα τοῦ θεοῦ καὶ γέγονεν ὁ τύπος ὡς γλυφὴ 10
σιδήρου, καὶ νεφέλη ἐσκέπασε τὸ ὄνομα καὶ οὐδεὶς νοεῖ τὸν τόπον οὔτε ἀναγνῶναι αὐτὸν <*δύναται*> *ἕως σήμερον καὶ ἕως συντελείας. Καί ἐστιν ἡ πέτρα ἐν τῇ ἐρήμῳ, ὅπου πρώτως ἡ κιβωτὸς γέγονε μεταξὺ τῶν δύο ὀρέων, ἐν οἷς κεῖνται Μωϋσῆς καὶ Ἀαρών. Καὶ ἐν νυκτὶ νεφέλη ὡς πῦρ* 15
γίνεται κατὰ τὸν τύπον τὸν ἀρχαῖον, ὅτι οὐ μὴ παύσηται ἡ δόξα τοῦ θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. Καὶ ἔδωκεν ὁ θεὸς

11 2 Macchab. 2, 7 **15** ibid. 2, 8

1 *ὑμῖν*] *ἡμῖν* BCDdE *ὅταν* E *ὅτ' ἂν* Dd 2 *προσκυνοῦσιν* + *τῆς γῆς* E *δὲ* + *πάλιν* E 3 *ἐκβαλεῖ* BB[1]CDdE *Ἀαρῶν* B[1] *Ἀαρὼν* + *μόνος ὁ ἱερεὺς* BCDd *αὐτῷ*] *αὐτῇ* BB[1]E 4 *ἀναπτύξει*] *ἀνοίξει* (+ *αὐτήν* B) BB[1] *οὐκέτι* ⊥ B[1] *ἢ* ⊥ B[1] *οὐκέτι* — *προφητῶν* ⊥ E *οὐκέτι* + *οὐχ* Dd 5 *πρῶτον* E 8 *ἐκεῖ* ⊥ CDdE *ἐκδεχόμενοι* + *τὸν* B[1]E *φεύγοντες* + *τὸν* E 9 *ἐθέλοντα* C *καὶ ἐν* C *ἐν* + *δὲ* BB[1]Dd *τῷ δακτύλῳ ἐσφράγισται* E 10 *θεοῦ* + *τῷ δακτύλῳ τοῦ προφήτου* BB[1] *καὶ*] *κὲ* (sic) E *γέγονεν*] *ἐγένετο* DdE *γλυφῇ* B[1] 11 *σιδήρῳ* B *νεφέλη* + *φωτεινὴ* B[1]E *νοῆσαι* B[1] *νοήσει* Dd 12 *οὐδὲ* E *ἀγνῶναι* E *αὐτὸ* CDd *αὐτὸν* + *δυνήσεται* BB[1] + *δύναται* CDdE *σήμερον* — *συντελείας*] *τῆς ἡμέρας ἐκείνης* CDd *ἕως* + *τῆς* BB[1]E 13 *καί ἐστιν*] *ἔστι δὲ* B[1]DdE *καὶ* — 14 *ὀρέων*] *ἔστιν δὲ* B *πρῶτον* B[1]DE *ἐν οἷς*] *ὅπου* Dd 15 *κεῖται* B[1] *Μωσῆς* E *ἐν* + *τῇ* E *πῦρ*] *πυρίνη νεφέλη* Dd *νυκτὶ* + *δὲ* E *ὡς πῦρ* ⊥ BB[1]E 16 *γίνεται* + *φωτός* E *κατὰ*] *ἐπὶ* CDd *περὶ* B *τόπον* BB[1]CDd *ὅτι* — p. 74, 3 *σήμερον* ⊥ CDd 17 *καὶ* + *διὰ τοῦτο* BB[1] *ἔδοκεν* (sic) E

τῷ Ἱερεμίᾳ χάριν, ἵνα τὸ τέλος τοῦ μυστηρίου αὐτοῦ αὐτὸς ποιήσειεν, ἵνα γένηται συγκοινωνὸς Μωϋσέως καὶ ὁμοῦ εἰσιν ἕως σήμερον.

γʹ. Ἰεζεκιήλ. Οὗτός ἐστιν ἐκ γῆς Ἀρίρα, ἐκ τῶν ἱερέων
5 καὶ ἀπέθανεν ἐν τῇ γῇ τῶν Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας πολλὰ προφητεύσας τοῖς ἐν τῇ Ἰουδαίᾳ. Ἀπέκτεινεν δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ λαοῦ Ἰσραὴλ ἐκεῖ ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασι. Καὶ ἔθαψαν αὐτὸν ἐν ἀγρῷ Μαοὺρ ἐν τάφῳ Σὴμ καὶ Ἀρφαξὰδ πατέρων Ἀβραάμ, καὶ
10 ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι καὶ Ἀβραὰμ ἐν Χεβρῶν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησε τὸν τάφον Σάῤῥας. Διπλοῦν δὲ λέγεται, ὅτι εἱλικτόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ὑπερῷον καί ἐστι ἐπὶ γῆς ἐν πέτρᾳ κρεμάμενον.

Οὗτος ὁ προφήτης τέρας ἔδωκε τῷ λαῷ, ὥστε προσέχειν
15 τῷ ποταμῷ Χοβάρ, ὅτε ἐκλείποι, ἐπελπίζειν τὸ δρέπανον τῆς ἐρημώσεως εἰς πέρας τῆς γῆς, καὶ ὅτε πλημμυρήσῃ, τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον. Καὶ γὰρ ἐκεῖ κατῴκει ὁ ὅσιος καὶ πολλοὶ πρὸς αὐτὸν συνεστρέφοντο. Καί ποτε πλήθους

5 cf. Ezech. 28, 25 **9** Genes. 23, 2. 9, 19 **14—16** cf. Ezech. 1, 3; 36, 8; 47, 1

1 ἠερεμία E 2 ποιήσῃ B ποιήσει B^{1}E ἵνα] ὅπως BE Μωϋσέως + καὶ Ἀαρὼν BB^1 3 εἰσὶ ἔτη E ἕως τῆς BB^{1}E σήμερον + ἐπειδὴ καὶ ἠερεμίας ἐκ σπέρματος ἱερατικοῦ ἐστι E 4 οὗτος ∟ CDd σαριρᾶ Dd σαιρᾶ B σαιηρᾶ B^1 σαρηρὰ CE 5 τῇ ∟ BB^{1}Dd τῶν ∟ B^{1}E 7 ἐλεγχομένου B ἐκεῖ ∟ E αὐτοῦ + ἐκεῖ E 8 ἔθαψεν BB^1 αὐτὸν + ὁ λαὸς BB^1 ἀγρῷ + καλουμένῳ E 9 Μαὼρ BB^1 Σὴθ B^1 Ἀφράξαδ Aa Ἀφραξαδὲ BB^1 καὶ — 10 Ἀβραάμ ∟ B^{1}E 12 λέγεται δὲ E εἰλικτὸν B^1 ἑλικτὸν Dd 13 ἐν ὑπερῴῳ E εἱλικτὸν — κρεμάμενον] εἱλικτός ἐστιν ὁ τάφος ἐν πέτρᾳ κεκρυμμένος E κρεμάμενον] κεκρυμμένον BB^{1}C 15 Χωβὰρ B ὅτε] ἵνα ὅταν ἐκλείπει, τότε ἐλπίζειν E ὅτι ἐκλείπει CDd ὅτε καὶ ἐκλείψει BB^1 ἐπελπίζειν] ἐπελθεῖν BB^{1}CDd τὸ δρέπανον ∟ BB^1 16 ὅτε ὅταν E πλημμυρίσει CD πλημμερήσει B^1 17 εἰς Ἱερουσαλ. lacuna E ἐκεῖ] ἐκείνην E 18 πολλοὶ + οἱ τοῦ νόμου ἀντεχόμενοι E συνεστρέφοντο] συνήγοντο B^1 δήποτε E πλῆθος (sic) B

*συνόντος αὐτῷ ἔδεισαν οἱ Χαλδαῖοι, μὴ ἀντάρωσι, καὶ ἐπῆλ-
θον αὐτοῖς εἰς ἀναίρεσιν. Καὶ ἐποίησε στῆναι τὸ ὕδωρ,
ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν γενόμενοι. Καὶ οἱ τολμήσαν-
τες τῶν ἐχθρῶν ἐπιδιῶξαι κατεποντίσθησαν.*

Οὗτος διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν 5
*ἰχθύων παρέσχετο καὶ πολλοῖς ἐκλείπουσι ζωὴν ἐλθεῖν ἐκ
θεοῦ παρεκάλεσεν.*

*Οὗτος ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν προσῆλθε
τοῖς ἡγουμένοις καὶ διὰ τεραστίων φοβηθέντες ἐπαύσαντο.
Τοῦτο ἔλεγεν αὐτοῖς, ὅτι· διαπεφωνήκαμεν, ἀπώλετο ἡ ἐλπὶς* 10
*ἡμῶν. καὶ ἐν τέρατι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν,
ὅτι ἔσται ἐλπὶς τῷ Ἰσραὴλ καὶ ὧδε καὶ ἐπὶ τοῦ μέλλοντος.*

*Οὗτος ἐκεῖ ὢν ἐδείκνυ τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλὴμ
καὶ ἐν τῷ ναῷ γινόμενα. Οὗτος ἡρπάγη ἐκεῖθεν καὶ ἦλθεν*

6 cf. Ezech. 47, 9 **10** ibid. 37, 11 **14** ibid. c. 8, 3

1 *συνόντως* E *ἔδησαν* B *ἐδόκησαν* E *Χαλδαῖοι* + *τοὺς ἑβραί-
ους* CDd + *τοῖς ἑβραίοις* B[1] *περὶ τῶν ἑβραίων* E *μίαν τάρωσιν*
B[1] *ἀντανάρωσι* (sic) E *καὶ ἐπῆλθον — ἀναίρεσιν* ∟ CDd *ἐπῆλ-
θον* E 2 *εἰς* ∟ B[1] *εἰς ἀναίρεσιν*] *ἀναιρεῖν* E *καὶ* ∟ BB[1]CE
ἐποίησεν + *δὲ* BB[1]CE *ὁ προφήτης* B[1]E *διαστῆναι* B[1]CDd
3 *φύγωσιν* E *γενόμενοι* ∟ E *γενάμενοι* BB[1] *οἱ τολμήσαντες*]
ὅσοι ἐτόλμησαν BB[1] *οἱ* ∟ E *οἱ* + *δὲ* Dd 4 *τῶν ἐχθρῶν*] *οἱ ἐχ-
θροὶ* E *καταδιῶξαι* B[1] *κατεπόθησαν* BB[1] 5 *οὕτως* BB[1] *αὐτο-
μάτως*] *ἐν καιρῷ λιμοῦ* E *αὐτοῖς* ∟ B[1] *δαψιλῇ τροφῇ* B[1] *τροφὴν*
+ *αὐτοῖς* E 6 *παρέσχε* Dd *ἰχθύων* + *τῷ λαῷ* BB[1] *πολλῶν ἐκλι-
πόντων* E *ζωὴν ἐκ θεοῦ παρεκάλ. ἐλθεῖν* E *ζωὴν ἐκ θεοῦ ἐλθεῖν
παρεσκεύασεν* BB[1] 8 *οὕτως* B *οὗτος* + *Ἰεζεκιήλ* E *ἡγουμένοις*
+ *τῶν Χαλδαίων* E *ἡγ.*] *Χαλδαίοις* BB[1] 9 *διὰ — ἐπαύσαντο*]
σημεῖον (*σημεῖα* CDd) *ποιήσας* (+ *ἐπ' αὐτοὺς σκότους* E) *ἔπαυσε*
(*ἔθραυσε* Dd) *τοὺς πολεμίους καταπλήξας αὐτοὺς* (*αὐτοῖς* E)
οὐρανόθεν BB[1]CDdE 10 *τοῦτο — αὐτοῖς*] *τότε* (+ *γὰρ* Dd)
ἔλεγεν (*ἦν λέγων* E) *ὁ Ἰσραὴλ* BB[1]CDdE *ὅτι* ∟ B *ἀπόλωλεν*
BB[1]CDdE 11 *ἡμῶν* + *πᾶσα* E *τέρασι* BB[1]E *τῶν νεκρῶν ὀστέων* E
τῶν — ἔπεισεν] *ἐπιστοποίησεν αὐτοὺς* E 12 *ἐστὶ* BCDd *τῷ —
μέλλοντος*] *ἐπὶ τοῦ μέλλοντος τῷ λαῷ καὶ ὧδε καὶ ἐπεκεῖνα* E
13 *ἐκεῖ ὢν*] *οἰκειῶν* B[1] *ἐδείκνυε* CDdE *τῷ λαῷ Ἰσραὴλ ἐδείκνυ* B
14 *καὶ* + *τὰ* BE *εἰς*] *ἐν* B

εἰς Ἱερουσαλὴμ εἰς ἔλεγχον τῶν ἀπίστων. Οὗτος κατὰ τὸν Μωϋσῆν εἶδε τὸν τύπον, οὗ τὸ τεῖχος καὶ περίτειχος πλατύ, καθὼς εἶπε καὶ ὁ Δανιήλ, ὅτι κτισθήσεται. Οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δὰν καὶ τοῦ Γάδ, ὅτι ἠσέβουν 5 *εἰς τὸν κύριον διώκοντες τοὺς τὸν νόμον φυλάσσοντας· καὶ ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ βρέφη αὐτῶν καὶ πάντα τὰ κτήνη αὐτῶν, καὶ προείρηκεν, ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ, ἀλλὰ ἐν Μηδίᾳ ἔσονται ἕως συντελείας πλάνης αὐτῶν. Καὶ* 10 *ἐξ αὐτῶν ἦν ὁ ἀνελὼν αὐτόν. Ἀντέκειντο γὰρ αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.*

δ'. Δανιήλ. Οὗτος μὲν ἦν ἐκ φυλῆς Ἰούδα, γένους τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας, ἀλλ' ἔτι νήπιος ἤχθη ἐκ τῆς Ἰουδαίας εἰς γῆν Χαλδαίων· ἐγεννήθη δὲ ἐν Βεθώρῳ

1 Exod. 25, 9 **3** Dan. 9, 25; Ezech. c. 40; 43, 2; 44, 2; 46, 1. 2. 8. 14; cf. Genes. 49, 16—19 **13** Dan. 1, 3; cf. 4 Reg. 20, 18; Isa. 39, 7

1 *Ἱερ.* + *κατ' αὐτὴν τὴν ὥραν* BB[1]CDdE *ἀπίστων*] *ἀπειθούντων θεῷ* BB[1]CDdE 2 *Μωσὴν* AaE *Μωϋσῇ* B[1] *ἴδεν* Aa *τύπον* + *τοῦ ναοῦ* BB[1]CDdE *τὸ* ∠ B *οὗ τὸ*] *καὶ* B[1] *καὶ* + *τὸ* CDd *περιτεῖχος* B *καὶ περίτειχος* ∠ CDd *πλατύ* — 3 *κτισθήσεται καὶ τὴν πύλην* (*πόλην* E) *ἐν ᾗ* (+ *ὁ* E) *κύριος εἰσελεύσεται* (+ *καὶ ἐξελεύσεται* BCDdE) *καὶ ἔσται ἡ πύλη κεκλεισμένη* (+ *καὶ εἰς αὐτὸν ἐλπιοῦσι* [*ἐλπίσουσι* BB[1] *πάντα τὰ ἔθνη*] BB[1]E) BB[1]CDdE 4 *ἐν Βαβ. ἔκρινε* E *Δᾶν* A *Γᾶδ* B[1] 5 *εἰς*] *πρὸς* BB[1] *τὸν* ∠ BCDd 6 *ἀνείλισκον* B[1] *ἀνήλισκον*] *ἀνήρουν* E 7 *βρέφη*] *κτήνη* BB[1] *καὶ* — *αὐτῶν* BB[1]CDd *αὐτῶν* + *διὰ τὴν ἀσέβειαν αὐτῶν* BB[1]CDdE + *καὶ ἔπαυσε τὸν κατ' αὐτὸν θάνατον* E 9 *Μηδείᾳ* BCDd *Μηδίᾳ*] *Βαβυλῶνι* E *αὐτῶν*] *αὐτὸν* E 10 *ἀντέκειντο* B[1] *αὐτῷ* ∠ B[1] *αὐτοῦ*] *αὐτῆς* E 12 in marg. *κρίσις ἀπὸ ἰσχυροῦ* E *μὲν* ∠ BB[1]E *Ἰοῦδα* B[1] *Ἰουδά* Aa *γενεᾶς* E *γένους* BC *ἐξοχῶν* B *ἐξόχων* B[1] *τῆς ὑπηρεσίας τῆς βασιλικῆς* BB[1] 13 *ἔτι*] *ἔστι* (sic) E *νήπιος* + *ὢν* CDdE *ἤρθη* BB[1]C *ἤχθη* + *αἰχμάλωτος* E + *ἐν τῇ αἰχμαλωσίᾳ* BB[1]CDd *ἐκ*] *ἀπὸ* Dd *ἐκ* — *Χαλδ.*] *ἐν τῇ Χαλδαίων γῇ* E 14 *ἐγενήθη* Aa *Βεθωρῶν* Dd *βεθώρων* E *βηθόρῳ* E

τῇ ἀνωτέρᾳ καὶ ἦν ἀνὴρ σώφρων, ὥστε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα.

Πολλὰ ἐπένθησεν οὗτος ἐπὶ τὴν πόλιν καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς καὶ ἦν ἀνὴρ ξηρὸς τὴν ἰδέαν, ἀλλὰ ὡραῖος ἐν χάριτι ὑψίστου. 5

Οὗτος πολλὰ ηὔξατο ὑπὲρ τοῦ Ναβουχοδονόσορ παρακαλοῦντος αὐτὸν Βαλτάσαρ τοῦ υἱοῦ αὐτοῦ, ὅτε ἐγένετο θηρίον καὶ κτῆνος, ἵνα μὴ ἀπόληται. Ἦν τὰ ἐμπρόσθια ὡς βοῦς σὺν τῇ κεφαλῇ καὶ οἱ πόδες σὺν τοῖς ὀπισθίοις λέων. Ἀπεκαλύφθη τῷ ὁσίῳ περὶ τοῦ μυστήριου τούτου, ὅτι κτῆνος 10 *γέγονε διὰ τὴν φιληδονίαν καὶ τὸ σκληροτράχηλον, καὶ ὅτι ὡς βοῦς ὑπὸ ζυγὸν γίνονται τοῦ Βελίαρ. Ταῦτα ἔχουσιν οἱ δυνάσται ἐν νεότητι· ἐπὶ τέλει δὲ θῆρες γίνονται ἁρπά-*

4 Dan. 1, 8. 13

1 *ἀνωτέρᾳ* + ὃ E *σοφὸς* E + *σπανὸς δὲ τῷ εἴδει* E *ὥστε*] *ὡς* E *δοκεῖν*] *θαυμάζειν πάντας* CDd *Ἰουδαίους* + *πιστεύοντας εἰς αὐτόν* CDd 2 *αὐτὸν* ∟ CDd 3 *πολλὰ* + *οὖν οὗτος ἐπένθησε* E *Οὗτος πολλὰ ἐπενθ.* CDd *τὴν πόλιν*] *τὸν λαὸν* (*ναὸν* E) *καὶ τὴν πόλιν Ἱερουσαλὴμ* B^{1}CDdE *πόλιν* + *Ἱερουσαλὴμ* B *τροφῆς*] *βρώσεως* CDd 4 *ἤσκησεν* + *ἐνεκρατεύσατο δὲ* BB^1 *ἐπιθυμητὴς* E *ἐπιθ.* + *σπέρματα γῆς* (∟ B) *ἐσθίων* (+ *εἴκοσι ἓν ἔτος* E) BB^{1}CDdE *ξηρὸς* + *μὲν* CDdE + *καὶ σπανὸς* Dd 5 *εἰδέαν* B^{1}C *τὴν ἰδέαν*] *τῷ σώματι* E *ὥραιος* Aa 7 *ὅτι* E *ἐγένετο* + *ὡς* CE *καὶ κτῆνος* ∟ D *ἀπωλῆται* B^1 8 *ἦσαν* BB^1 + *γὰρ* BB^1 *ἦν* + *γὰρ* CDd *τὰ ἐμπρ.*] *τὸ μὲν* (∟ B) *ἔμπροσθεν αὐτοῦ ἔχων* BB^{1}E *ἐμπρόσθεια* Aa *βοῦς* + *ἔχων* BCDd 9 *σὺν τῇ κεφ.*] *τὸ σχῆμα καὶ κεφαλὴν* CDd *ὀπισθείοις* Aa *λέοντος* BB^{1}Dd *ὡς λέων* E *καὶ ἀπεκάλ.* Dd *Ἀπεκαλ.* + *δὲ* BB^{1}E 10 *ὁσίῳ* + *Δανιὴλ* E *περὶ* + *αὐτοῦ τὸ μυστήριον τοῦτο* CDd *τούτου* ∟ E *κτῆνος γέγονε* ∟ E *τὴν* + *ἄλογον* (+ *αὐτοῦ* B^{1}CDd) BB^{1}CDdE *καὶ* ∟ B *τὸ σκληροτρ.*] *σκληροτραχηλίαν* BB^{1}CDdE 11 *καὶ* ∟ B^1 *καὶ ὅτι* ∟ E 12 *ὑπὸ ζυγὸν ὡς βοῦς* E *ὑπὸ ζυγοῦ* B^1 *ὑποζύγιον* BCDd *γέγονε* CDd *γενήσεται* CDd *γένηται* B^1 *ἐγενήθη* E *τοῦ*] *τῷ* BB^{1}CDdE *Βελ.* + *λέων* (*λέγει* E) *δὲ διὰ τὸ τυραννικὸν καὶ ἁρπακτικὸν καὶ θηριῶδες* (*θηριωδέστατον* E) (*αὐτοῦ τρόπον* E) (*τοῦ τρόπου αὐτοῦ* B) BB^{1}CDdE *ταῦτα* + *γὰρ* B *ἐν νέοτητι*] *τὴν ἀρχὴν* E *νεότητι* + *τουτέστι τὸ κτηνῶδες* Dd 13 *ἐπὶ τέλει*] *ἐν ὑστέρῳ* Dd *δὲ* + *ὡς* E *θηρία* BB^1 *ἁρπάζ.*] *ἄρχοντες καὶ* BB^1

ζοντες ὀλοθρεύοντες ἀναιροῦντες καὶ πατάσσοντες. Ἔγνω διὰ θεοῦ ὁ ἅγιος, ὅτι ὡς βοῦς ἤσθιε χόρτον καὶ ἐγένετο ἀνθρωπίνης φύσεως τροφή. Διὰ τοῦτο καὶ ὁ Ναβουχοδονόσορ μετὰ τὴν πέψιν ἐν καρδίᾳ ἀνθρωπίνῃ γενόμενος
5 ἔκλαιε καὶ ἠξίου κύριον πᾶσαν ἡμέραν καὶ νύκτα τεσσαρακοντάκις δεόμενος. Βεημὼθ ἐπεγίνετο αὐτῷ καὶ ἐλάνθανεν, ὅτι γέγονεν ἄνθρωπος· ἤρθη ἡ γλῶσσα αὐτοῦ τοῦ μὴ λαλεῖν· καὶ νοῶν εὐθέως ἐδάκρυσεν· οἱ ὀφθαλμοὶ αὐτοῦ ἦσαν ὡς κρέας ἐκ τοῦ κλαίειν. Πολλοὶ γὰρ ἐξιόντες ἐκ τῆς πόλεως
10 ἑώρων αὐτόν. Ὁ Δανιὴλ μόνος οὐκ ἠθέλησεν αὐτὸν ἰδεῖν, ὅτι πάντα τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ ἐν προσευχῇ ἦν περὶ αὐτοῦ· ἔλεγεν, ὅτι πάλιν ἄνθρωπος γενήσεται· καὶ ἠπίστουν αὐτῷ. Ὁ Δανιὴλ τὰ ἑπτὰ ἔτη, ἃ εἶπεν ἑπτὰ καιρούς, ἐποίησε γενέσθαι ἑπτὰ μῆνας· τὸ μυστήριον τῶν ἑπτὰ
15 καιρῶν ἐτελέσθη ἐπ' αὐτόν, ὅτι ἀποκατέστησεν ἑπτὰ μησί,

1 Dan. 4, 23. 30 **13** ibid. 4, 29

1 καὶ πατάσσ.] ἀσεβοῦντες E καὶ] τυραννοῦντες ἀσεβοῦντες B[1]CD πατάσσοντες + τὰς δὲ τούτων ἀμοιβὰς παρὰ τοῦ δικαίου κριτοῦ θεοῦ (⌊ BB[1]) ἀπολαμβάνοντες BB[1]CDd ἔγνω + δὲ E + οὖν CDd ἔγνω] εἰπὼν BB[1] διὰ + τοῦ Dd 2 ἔσθιε Aa ἐγένετο + αὐτῷ Dd ἐγίνετο Aa 3 ἀνθρωπίνῃ φῇ (sic) E τροφῇ B[1] τροφή + ὁ χόρτος CDd 4 πέμψιν E πέψιν + τῆς τροφῆς BB[1]CDdE ἀνθρώπου CD 5 τὸν κύριον E πᾶσαν ⌊ CDE νύκτα καὶ ἡμέραν Dd δεόμενος + τὴν ἀποκατάστασιν αὐτοῦ E 6 βεημώθ] ὅτε οὖν E ὡς δὲ CDd βεημὼθ ⌊ BB[1] αὐτοῦ B καὶ ⌊ E 7 καὶ ὅτε γέγονεν E γέγονεν + αὐτῷ καρδία ἀνθρώπου E ἦρται γὰρ E ἤργει Dd τοῦ ⌊ E μὴ ⌊ Dd 8 ἐννοῶν E εὐθέως ⌊ E ἐδάκρυεν B[1]E καὶ οἱ BB[1] οἱ + δὲ CDdE ὡς + νεκρὸν BB[1]CDd κρέας + νεκρὸν E ἐκ] ἀπὸ E ἐκ — πόλεως ⌊ BB[1] καὶ πολλοὶ ⌊ γὰρ E 10 ἑώρων] ἤρχοντο E ἐθεώρουν BB[1]CDd αὐτὸν ἐκ τῆς πόλεως BB[1] ὁ + δὲ BB[1]CDdE μόνος ⌊ BB[1] ἤθελεν DdE 11 ἐν προσευχῇ] εὐπρυσευχής B περὶ] ὑπὲρ CDd 12 καὶ ἔλεγεν E ἔλεγεν + γὰρ BB[1]CDd γεν. ἄνθρ. E γενήσεται + καὶ τότε ὄψομαι αὐτὸν BB[1]CDd καὶ — αὐτῷ ⌊ B[1] 13 Δανιὴλ + οὖν BB[1]CDd τὰ ⌊ B[1] ὁ — εἶπεν] καὶ τοὺς E ἃ] οὓς BB[1] 14 καιροὺς + προσευχόμενος πρὸς τὸν ὕψιστον BB[1]CDd ἐποίησεν + ὁ θεὸς εὐχομένου E γεν. μῆνας ἑπτὰ E ἑπτὰ μ. γ. CDd μῆνας + καὶ BCDdE 15 αὐτὸν] αὐτῷ CDdE ἐπ' αὐτὸν] ἐν αὐτῷ B

τὰ ἓξ ἔτη καὶ ἓξ μῆνας ὑπέπιπτε κυρίῳ καὶ ὡμολόγει τὴν ἀσέβειαν αὐτοῦ καὶ μετὰ ἄφεσιν τῆς ἀνομίας αὐτοῦ ἀπέδωκεν αὐτῷ τὴν βασιλείαν. Οὔτε ἄρτον ἢ κρέα ἔφαγεν οὔτε οἶνον ἔπιεν ἐξομολογούμενος, ὅτι ὁ Δανιὴλ αὐτῷ προσέταξεν ἐν. ὀσπρίοις βρεκτοῖς καὶ χλόαις ἐξιλεοῦσθαι κύριον. Διὰ 5 *τοῦτο ἐκάλεσεν αὐτὸν Βαλτάσαρ, ὅτι ἠθέλησεν αὐτὸν συγκληρόνομον καταστῆσαι τῶν τέκνων αὐτοῦ. Ἀλλ' ὁ ὅσιος εἶπεν· ἵλεώς μοι ἀφεῖναι κληρονομίαν πατέρων μου καὶ κολληθῆναι κληρονομίαις ἀπεριτμήτων. Καὶ τοῖς ἄλλοις βασιλεῦσι Περσῶν πολλὰ ἐποίησεν τεράστια, ὅσα οὐκ ἔγραψαν. Ἐκεῖ ἀπέθανε* 10 *καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τῷ βασιλικῷ μόνος ἐνδόξως.*

Καὶ αὐτὸς ἔδωκε τέρας ἐν ὄρεσι τοῖς ὑπεράνω Βαβυλῶνος, ὅτι· ὅτε καπνισθήσεται τὸ ἐκ βοῤῥᾶ, ἥξει τὸ τέλος Βαβυλῶνος·

5 Dan. 4, 33   8 ibid. 1, 7; 4, 5

